ΚΥΡΙΑΚΟΥ ΚΟΣΜΑ - ΝΙΚΟΛΑΟΥ ΦΡΑΓΚΙΣΚΟΥ



# ΞΕΝΟΦΩΝΤΟΣ
# ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ
# ΕΛΛΗΝΙΚΑ



ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΔΙΔΑΚΤΙΚΩΝ ΒΙΒΛΙΩΝ - ΕΝ ΑΘΗΝΑΙΣ 1964

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΙΒΛΙΟΧΑΡΤΟΠΩΛΕΙΟΝ
ΜΙ-ΝΟΥ
Ν. ΚΟΦΙΝΑΣ - Γ. ...ΝΔΑΚΗΣ
ΣΧΟΛ. ΕΙΟΣ 196
ΕΠΤΑΝΗΣΟΥ 15 ΤΗΛ. 820-658, 818-721
ΚΥΨΕΛΗ

17.861

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΞΕΝΟΦΩΝΤΟΣ ΑΝΑΒΑΣΙΣ

## (ΕΚΛΟΓΑΙ)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΚΥΡΙΑΚΟΥ ΚΟΣΜΑ

Σπύρος Ι. Παπασπύρου
Ζωγράφος
Καθηγητής Εφαρμογών ΤΕΙ/ΗΠ.

# ΞΕΝΟΦΩΝΤΟΣ ΑΝΑΒΑΣΙΣ

## (ΕΚΛΟΓΑΙ)

ΔΙΑ ΤΗΝ Β' ΤΑΞΙΝ ΤΩΝ ΓΥΜΝΑΣΙΩΝ



ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΔΙΔΑΚΤΙΚΩΝ ΒΙΒΛΙΩΝ
ΕΝ ΑΘΗΝΑΙΣ 1964

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΕΙΣΑΓΩΓΗ

## 1. Βίος τοῦ Ξενοφῶντος.

Ὁ Ξενοφῶν, υἱὸς τοῦ Γρύλλου καὶ τῆς Διοδώρας, ἐγεννήθη ἐν Ἀθήναις τὸ 434 π.Χ. Κατήγετο ἐξ εὐγενοῦς καὶ εὐπόρου οἰκογενείας. Ὅτε ἦτο νέος, ὑπῆρξε πιστὸς μαθητὴς τοῦ φιλοσόφου Σωκράτους, ἐκ τῆς διδασκαλίας τοῦ ὁποίου πλεῖστον ὠφελήθη.

Τὸ 401 π.Χ. ἀφῆκε τὰς Ἀθήνας καὶ ἐπορεύθη κατὰ πρόσκλησιν τοῦ φίλου του Προξένου τοῦ Βοιωτοῦ εἰς τὰς Σάρδεις τῆς Λυδίας πρὸς τὸν νεώτερον Κῦρον, ὅτε οὗτος παρεσκευάζετο νὰ ἐκστρατεύσῃ κατὰ τοῦ ἀδελφοῦ του Ἀρταξέρξου, βασιλέως τότε τοῦ περσικοῦ κράτους. Τὴν ἐκστρατείαν ταύτην ἠκολούθησεν ὁ Ξενοφῶν ὡς ἰδιώτης. Μετὰ τὸν θάνατον ὅμως τοῦ Κύρου ἐν τῇ παρὰ τὰ Κούναξα μάχῃ καὶ τὴν δολοφονίαν τῶν Ἑλλήνων στρατηγῶν ἐξελέχθη στρατηγὸς καὶ κατώρθωσε μὲ μεγίστους κόπους καὶ κινδύνους νὰ ὁδηγήσῃ τὸν στρατὸν τῶν μυρίων Ἑλλήνων ἐκ τοῦ βάθους τῆς Ἀσίας εἰς τὸν Εὔξεινον Πόντον καὶ ἀπὸ ἐκεῖ εἰς τὴν Θρᾴκην. Ἐν Θρᾴκῃ ἐβοήθησε τὸν ἡγεμόνα αὐτῆς Σεύθην καὶ ἡτοιμάζετο νὰ ἐπανέλθῃ εἰς τὰς Ἀθήνας. Ἀλλ' οἱ φίλοι του προσελθόντες τὸν ἔπεισαν νὰ προσέλθῃ μὲ τὸν στρατόν του εἰς τὸν σπαρτιατικὸν στρατόν, ὁ ὁποῖος τότε ὑπὸ τὰς διαταγὰς τοῦ Θίβρωνος ἐπολέμει ἐν Μ. Ἀσίᾳ πρὸς τοὺς Πέρσας. Ὅτε δὲ τὸ 396 π.Χ. ἦλθεν εἰς τὴν Ἀσίαν ἄλλος στρατηγός, ὁ βασιλεὺς τῆς Σπάρτης Ἀγησίλαος, διὰ νὰ ἐξακολουθήσῃ τὸν πόλεμον κατὰ τῶν Περσῶν, ὁ Ξενοφῶν ἐτάχθη εἰς τὸ ἐπιτελεῖόν του καὶ ἔγινε στενὸς τοῦ Ἀγησιλάου φίλος.

Ἀφοῦ ἐν τῇ Ἀσίᾳ ἐπολέμησε μετὰ τῶν Σπαρτιατῶν πρὸς ἀπελευθέρωσιν τῶν ἑλληνικῶν πόλεων, ἐπανῆλθεν εἰς τὴν Ἑλλάδα ἀκολουθῶν τὸν Ἀγησίλαον καὶ ἐπολέμησε μετ' αὐτοῦ ἐν Κορωνείᾳ ( 394 π.Χ. )

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κατὰ τῶν συμπολιτῶν του, οἱ ὁποῖοι τότε ἦσαν σύμμαχοι τῶν Θηβαίων.

᾿Επειδὴ δὲ ὁ Ξενοφῶν συνεμάχησε μὲ τοὺς Σπαρτιάτας, τοὺς ἐχθροὺς τῆς πατρίδος του, οἱ μὲν ᾿Αθηναῖοι τὸν ἐξώρισαν, οἱ δὲ Σπαρτιᾶται τοῦ ἔδωκαν ὡς δῶρον ἓν κτῆμα παρὰ τὸν Σκιλλοῦντα τῆς ῎Ηλιδος, πλησίον τῆς ᾿Ολυμπίας. ᾿Εκεῖ ἔζησεν ὁ Ξενοφῶν ἐπὶ εἴκοσι καὶ πλέον ἔτη μὲ τὴν σύζυγόν του Φιλησίαν καὶ τοὺς δύο υἱούς του, τὸν Γρύλλον καὶ τὸν Διόδωρον, ἀσχολούμενος εἰς τὸ κυνήγιον, τὴν γεωργίαν καὶ τὴν συγγραφήν.

᾿Αλλὰ μετὰ τὴν ἐν Λεύκτροις μάχην, κατὰ τὴν ὁποίαν οἱ Λακεδαιμόνιοι ἐνικήθησαν ὑπὸ τῶν Θηβαίων, ἐξεδιώχθη ἐκ τοῦ Σκιλλοῦντος ( τὸ 370 π.Χ. ) καὶ κατέφυγεν εἰς τὴν Κόρινθον. ῞Οτε διέμενεν ἐν Κορίνθῳ, οἱ ᾿Αθηναῖοι τὸν ἀνεκάλεσαν ἐκ τῆς ἐξορίας, ἀλλ᾽ ὁ Ξενοφῶν δὲν ἐπανῆλθεν εἰς τὰς ᾿Αθήνας. ᾿Απέθανε δ᾽ ἐν Κορίνθῳ τὸ 355 π.Χ. εἰς ἡλικίαν 80 περίπου ἐτῶν.

## 2. Ξενοφῶντος Κύρου ᾿Ανάβασις.

῾Ο Ξενοφῶν συνέγραψε πολλὰ συγγράμματα· ἓν ἐκ τούτων εἶναι ἡ **Κύρου ᾿Ανάβασις** διῃρημένη εἰς 7 βιβλία. ᾿Εν τῷ συγγράμματι τούτῳ ἐξιστορεῖται ἡ ἐκστρατεία τοῦ Κύρου κατὰ τοῦ ἀδελφοῦ του ᾿Αρταξέρξου καὶ κυρίως **ἡ κάθοδος** ( ἡ ἐπιστροφὴ ) **τῶν Μυρίων**.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΜΕΡΟΣ Α΄

# ΚΕΙΜΕΝΟΝ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

## ΑΠΟ ΤΑΣ ΣΑΡΔΕΙΣ ΕΩΣ ΤΑ ΚΟΥΝΑΞΑ

**( Μάρτιος - Σεπτέμβριος τοῦ 401 π. Χ. )**

### 1. Αἰτία τῆς ἐκστρατείας τοῦ Κύρου κατὰ τοῦ Ἀρταξέρξου καὶ προπαρασκευαὶ δι᾽ αὐτήν.

( **1**, 1 - 11 )

Δαρείου καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο, πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος· ἐπεὶ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετο τὼ παῖδε ἀμφοτέρω παρεῖναι. Ὁ μὲν οὖν πρεσβύτερος παρὼν ἐτύγχανε· Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς, ἧς αὐτὸν σατράπην ἐποίησε· καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων, ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται. Ἀναβαίνει οὖν ὁ Κῦρος λαβὼν Τισσαφέρνην ὡς φίλον, καὶ τῶν Ἑλλήνων ἔχων ὁπλίτας τριακοσίους, ἄρχοντα δὲ αὐτῶν Ξενίαν Παρράσιον. § 1 - 2

Ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος καὶ κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφόν, ὡς ἐπιβουλεύοι αὐτῷ. Ὁ δὲ πείθεται καὶ συλλαμβάνει Κῦρον ὡς ἀποκτενῶν· ἡ δὲ μήτηρ ἐξαιτησαμένη αὐτὸν ἀποπέμπει πάλιν εἰς τὴν ἀρχήν. § 3

Ὁ δ᾽ ὡς ἀπῆλθε κινδυνεύσας καὶ ἀτιμασθείς, βουλεύεται, ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλά, ἢν δύνηται, βασιλεύσει ἀντ᾽ ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. Ὅστις δὲ τῶν παρὰ βασιλεῖ ἀφικνοῖτο πρὸς αὐτόν, § 4 - 5

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πάντας οὕτω διατιθεὶς ἀπεπέμπετο, ὥστε αὐτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ. Καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπεμελεῖτο, ὡς πολεμεῖν τε ἱκανοὶ εἶεν καὶ εὐνοϊκῶς ἔχοιεν αὐτῷ.

§ 6-7 Τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν ὡς μάλιστα ἐδύνατο ἐπικρυπτόμενος, ὅπως ὅτι ἀπαρασκευότατον λάβοι βασιλέα. Ὧδε οὖν ἐποιεῖτο τὴν συλλογήν· ὁπόσας εἶχε φυλακὰς ἐν ταῖς πόλεσι, παρήγγειλε τοῖς φρουράρχοις ἑκάστοις λαμβάνειν ἄνδρας Πελοποννησίους ὅτι πλείστους καὶ βελτίστους, ὡς ἐπιβουλεύοντος Τισσαφέρνους ταῖς πόλεσι. Καὶ γὰρ ἦσαν αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρχαῖον, ἐκ βασιλέως δεδομέναι, τότε δὲ ἀφειστήκεσαν πρὸς Κῦρον πᾶσαι πλὴν Μιλήτου· ἐν Μιλήτῳ δὲ Τισσαφέρνης προαισθόμενος τὰ αὐτὰ ταῦτα βουλευομένους, τοὺς μὲν ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν. Ὁ δὲ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας συλλέξας στράτευμα ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν καὶ ἐπειρᾶτο κατάγειν τοὺς ἐκπεπτωκότας. Καὶ αὕτη αὖ ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα.

§ 8 Πρὸς δὲ βασιλέα πέμπων ἠξίου, ἀδελφὸς ὢν αὐτοῦ, δοθῆναι οἷ ταύτας τὰς πόλεις μᾶλλον ἢ Τισσαφέρνην ἄρχειν αὐτῶν, καὶ ἡ μήτηρ συνέπραττεν αὐτῷ ταῦτα· ὥστε βασιλεὺς τὴν μὲν πρὸς ἑαυτὸν ἐπιβουλὴν οὐκ ᾐσθάνετο, Τισσαφέρνει δὲ ἐνόμιζε πολεμοῦντα αὐτὸν ἀμφὶ τὰ στρατεύματα δαπανᾶν· ὥστε οὐδὲν ἤχθετο αὐτῶν πολεμούντων. Καὶ γὰρ ὁ Κῦρος ἀπέπεμπε τοὺς γιγνομένους δασμοὺς βασιλεῖ ἐκ τῶν πόλεων, ὧν Τισσαφέρνης ἐτύγχανεν ἔχων.

§ 9 Ἄλλο δὲ στράτευμα αὐτῷ συνελέγετο ἐν Χερρονήσῳ τῇ καταντιπέραν Ἀβύδου τόνδε τὸν τρόπον. Κλέαρχος Λακεδαιμόνιος φυγὰς ἦν· τούτῳ συγγενόμενος ὁ Κῦρος ἠγάσθη τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους δαρεικούς. Ὁ δὲ λαβὼν τὸ χρυσίον στράτευμα συνέλεξεν ἀπὸ τούτων τῶν χρημάτων καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπολέμει, ἐκ Χερρονήσου ὁρμώμενος, τοῖς Θραξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι καὶ ὠφέλει τοὺς Ἕλληνας· ὥστε καὶ χρήματα συνεβάλλοντο αὐτῷ εἰς τὴν τροφὴν τῶν στρατιωτῶν αἱ Ἑλλησποντιακαὶ πόλεις ἑκοῦσαι. Τοῦτο δ' αὖ οὕτω τρεφόμενον ἐλάνθανεν αὐτῷ τὸ στράτευμα.

§ 10 Ἀρίστιππος δὲ ὁ Θετταλὸς ξένος ὢν ἐτύγχανεν αὐτῷ, καὶ πιεζόμενος ὑπὸ τῶν οἴκοι ἀντιστασιωτῶν ἔρχεται πρὸς τὸν Κῦρον καὶ αἰτεῖ αὐτὸν εἰς δισχιλίους ξένους καὶ τριῶν μηνῶν μισθὸν νομίζων οὕτως ἂν περιγενέσθαι τῶν ἀντιστασιωτῶν. Ὁ δὲ Κῦρος δίδωσιν αὐτῷ εἰς τετρακισχιλίους καὶ ἓξ μηνῶν μισθὸν καὶ δεῖται αὐτοῦ μὴ πρόσθεν καταλῦσαι πρὸς τοὺς ἀντιστασιώτας, πρὶν ἂν αὐτῷ συμβουλεύσηται. Οὕτω δὲ αὖ τὸ ἐν Θετταλίᾳ ἐλάνθανεν αὐτῷ τρεφόμενον στράτευμα.

§ 11 Πρόξενον δὲ τὸν Βοιώτιον ξένον ὄντα ἐκέλευσε λαβόντα ἄνδρας ὅτι πλείστους παραγενέσθαι, ὡς εἰς Πισίδας βουλόμενος στρατεύεσθαι, ὡς πράγματα παρεχόντων τῶν Πισιδῶν τῇ ἑαυτοῦ χώρᾳ. Σοφαίνετον δὲ τὸν Στυμφάλιον καὶ Σωκράτην τὸν Ἀχαιόν, ξένους ὄντας καὶ τούτους, ἐκέλευσεν ἄνδρας λαβόντας ἐλθεῖν ὅτι πλείστους, ὡς πολεμήσων Τισσαφέρνει σὺν τοῖς φυγάσι τοῖς Μιλησίων. Καὶ ἐποίουν οὕτως οὗτοι.

## 2. Συγκέντρωσις τῶν Ἑλλήνων μισθοφόρων εἰς τὰς Σάρδεις. Ἀναχώρησις τοῦ στρατεύματος ἐκ τῶν Σάρδεων καὶ πορεία αὐτοῦ διὰ τῆς Λυδίας καὶ Φρυγίας.

**( 2, 1 - 18 )**

§ 1 Ἐπεὶ δ' ἐδόκει αὐτῷ ἤδη πορεύεσθαι ἄνω, τὴν μὲν πρόφασιν ἐποιεῖτο, ὡς Πισίδας βουλόμενος ἐκβαλεῖν παντάπασιν ἐκ τῆς χώρας· καὶ ἀθροίζει ὡς ἐπὶ τούτους τό τε βαρ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βαρικὸν καὶ τὸ Ἑλληνικόν. Καὶ παραγγέλλει τῷ τε Κλεάρχῳ λαβόντι ἥκειν ὅσον ἦν αὐτῷ στράτευμα, καὶ τῷ Ἀριστίππῳ συναλλαγέντι πρὸς τοὺς οἴκοι ἀποπέμψαι πρὸς ἑαυτόν, ὃ εἶχε στράτευμα· καὶ Ξενίᾳ τῷ Ἀρκάδι, ὃς αὐτῷ προειστήκει τοῦ ἐν ταῖς πόλεσι ξενικοῦ, ἥκειν παραγγέλλει λαβόντα τοὺς ἄλλους, πλὴν ὁπόσοι ἱκανοὶ ἦσαν τὰς ἀκροπόλεις φυλάττειν.

§ 2-3 Ἐκάλεσε δὲ καὶ τοὺς Μίλητον πολιορκοῦντας καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι, ὑποσχόμενος αὐτοῖς, εἰ καλῶς καταπράξειεν, ἐφ᾽ ἃ ἐστρατεύετο, μὴ πρόσθεν παύσεσθαι, πρὶν αὐτοὺς καταγάγοι οἴκαδε. Οἱ δὲ ἡδέως ἐπείθοντο· ἐπίστευον γὰρ αὐτῷ· καὶ λαβόντες τὰ ὅπλα παρῆσαν εἰς Σάρδεις. Ξενίας μὲν δὴ τοὺς ἐν ταῖς πόλεσι λαβὼν παρεγένετο εἰς Σάρδεις ὁπλίτας εἰς τετρακισχιλίους, Πρόξενος δὲ παρῆν ἔχων ὁπλίτας μὲν εἰς πεντακοσίους καὶ χιλίους, γυμνῆτας δὲ πεντακοσίους, Σοφαίνετος δὲ ὁ Στυμφάλιος ὁπλίτας ἔχων χιλίους, Σωκράτης δὲ ὁ Ἀχαιὸς ὁπλίτας ἔχων ὡς πεντακοσίους, Πασίων δὲ ὁ Μεγαρεὺς τριακοσίους μὲν ὁπλίτας, τριακοσίους δὲ πελταστὰς ἔχων παρεγένετο· ἦν δὲ καὶ οὗτος καὶ ὁ Σωκράτης τῶν ἀμφὶ Μίλητον στρατευομένων. Οὗτοι μὲν εἰς Σάρδεις αὐτῷ ἀφίκοντο.

§ 4 Τισσαφέρνης δὲ κατανοήσας ταῦτα καὶ μείζονα ἡγησάμενος εἶναι ἢ ὡς ἐπὶ Πισίδας τὴν παρασκευήν, πορεύεται ὡς βασιλέα, ᾗ ἐδύνατο τάχιστα, ἱππέας ἔχων ὡς πεντακοσίους. Καὶ βασιλεὺς μὲν δή, ἐπεὶ ἤκουσε Τισσαφέρνους τὸν Κύρου στόλον, ἀντιπαρεσκευάζετο.

§ 5-6 Κῦρος δὲ ἔχων, οὓς εἴρηκα, ὡρμᾶτο ἀπὸ Σάρδεων· καὶ ἐξελαύνει διὰ τῆς Λυδίας σταθμοὺς τρεῖς παρασάγγας εἴκοσι καὶ δύο ἐπὶ τὸν Μαίανδρον ποταμόν. Τούτου τὸ εὖρος δύο πλέθρα· γέφυρα δὲ ἐπῆν ἑπτὰ ἐζευγμένη πλοίοις. Τοῦτον διαβὰς ἐξελαύνει διὰ Φρυγίας σταθμὸν ἕνα παρασάγγας ὀκτὼ εἰς Κολοσσάς, πόλιν οἰκουμένην, εὐδαίμονα καὶ μεγάλην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐνταῦθα ἔμεινεν ἡμέρας ἑπτά· καὶ ἧκε Μένων ὁ Θετταλὸς ὁπλίτας ἔχων χιλίους καὶ πελταστὰς πεντακοσίους, Δόλοπας καὶ Αἰνιᾶνας καὶ Ὀλυνθίους.

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας εἴκοσιν § 7 - 8
εἰς Κελαινὰς τῆς Φρυγίας, πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα Κύρῳ βασίλεια ἦν καὶ παράδεισος μέγας ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. Διὰ μέσου δὲ τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαινῶν πόλεως. Ἔστι δὲ καὶ μεγάλου βασιλέως βασίλεια ἐν Κελαιναῖς ἐρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ ὑπὸ τῇ ἀκροπόλει· ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς πόλεως καὶ ἐμβάλλει εἰς τὸν Μαίανδρον· τοῦ δὲ Μαρσύου τὸ εὖρός ἐστιν εἴκοσι καὶ πέντε ποδῶν.

Ἐνταῦθα ἔμεινε Κῦρος ἡμέρας τριάκοντα· καὶ ἧκε Κλέ- § 9 - 10
αρχος ἔχων ὁπλίτας χιλίους καὶ πελταστὰς Θρᾷκας ὀκτακοσίους καὶ τοξότας Κρῆτας διακοσίους. Ἅμα δὲ καὶ Σῶσις παρῆν ὁ Συρακόσιος ἔχων ὁπλίτας τριακοσίους, καὶ Ἀγίας ὁ Ἀρκὰς ἔχων ὁπλίτας χιλίους. Καὶ ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο οἱ σύμπαντες ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Πέλτας, πόλιν οἰκουμένην. Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς· ἐν αἷς Ξενίας ὁ Ἀρκὰς τὰ Λύκαια ἔθυσε καὶ ἀγῶνα ἔθηκε· τὰ δὲ ἆθλα ἦσαν στλεγγίδες χρυσαῖ· ἐθεώρει δὲ τὸν ἀγῶνα καὶ Κῦρος. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δώδεκα εἰς Κεράμων ἀγοράν, πόλιν οἰκουμένην, ἐσχάτην πρὸς τῇ Μυσίᾳ χώρᾳ.

Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας τριά- § 11 - 13
κοντα εἰς Καΰστρου πεδίον, πόλιν οἰκουμένην. Ἐνταῦθα ἔ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μεινεν ἡμέρας πέντε καὶ τοῖς στρατιώταις ὠφείλετο μισθὸς πλέον ἢ τριῶν μηνῶν, καὶ πολλάκις ἰόντες ἐπὶ τὰς θύρας ἀπῄτουν. Ὁ δὲ ἐλπίδας λέγων διῆγε καὶ δῆλος ἦν ἀνιώμενος· οὐ γὰρ ἦν πρὸς τοῦ Κύρου τρόπου ἔχοντα μὴ ἀποδιδόναι. Ἐνταῦθα ἀφικνεῖται Ἐπύαξα ἡ Συεννέσιος γυνὴ τοῦ Κιλίκων βασιλέως παρὰ Κῦρον· καὶ ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά. Τῇ δ᾽ οὖν στρατιᾷ τότε ἀπέδωκε Κῦρος μισθὸν τεττάρων μηνῶν. Εἶχε δὲ ἡ Κίλισσα καὶ φυλακὴν περὶ αὐτήν, Κίλικας καὶ Ἀσπενδίους. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Θύμβριον, πόλιν οἰκουμένην. Ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη, τοῦ Φρυγῶν βασιλέως.

§ 14 - 16 Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Τυριάειον, πόλιν οἰκουμένην. Ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς. Καὶ λέγεται δεηθῆναι ἡ Κίλισσα Κύρου ἐπιδεῖξαι τὸ στράτευμα αὐτῇ· βουλόμενος οὖν ἐπιδεῖξαι ἐξέτασιν ποιεῖται ἐν τῷ πεδίῳ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων. Ἐκέλευσε δὲ τοὺς Ἕλληνας, ὡς νόμος αὐτοῖς εἰς μάχην, οὕτω ταχθῆναι καὶ στῆναι, συντάξαι δ᾽ ἕκαστον τοὺς ἑαυτοῦ. Ἐτάχθησαν οὖν ἐπὶ τεττάρων· εἶχε δὲ τὸ μὲν δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ, τὸ δὲ εὐώνυμον Κλέαρχος καὶ οἱ ἐκείνου, τὸ δὲ μέσον οἱ ἄλλοι στρατηγοί. Ἐθεώρει οὖν ὁ Κῦρος πρῶτον μὲν τοὺς βαρβάρους· οἱ δὲ παρήλαυνον τεταγμένοι κατὰ ἴλας καὶ κατὰ τάξεις· εἶτα δὲ τοὺς Ἕλληνας, παρελαύνων ἐφ᾽ ἅρματος καὶ ἡ Κίλισσα ἐφ᾽ ἁρμαμάξης. Εἶχον δὲ πάντες κράνη χαλκᾶ καὶ χιτῶνας φοινικοῦς καὶ κνημῖδας καὶ τὰς ἀσπίδας ἐκκεκαλυμμένας.

§ 17 - 18 Ἐπειδὴ δὲ πάντας παρήλασε, στήσας τὸ ἅρμα πρὸ τῆς φάλαγγος μέσης, πέμψας Πίγρητα τὸν ἑρμηνέα παρὰ τοὺς στρατηγοὺς τῶν Ἑλλήνων ἐκέλευσε προβαλέσθαι τὰ ὅπλα καὶ ἐπιχωρῆσαι ὅλην τὴν φάλαγγα. Οἱ δὲ ταῦτα προεῖπον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῖς στρατιώταις· καὶ ἐπεὶ ἐσάλπιγξε, προβαλόμενοι τὰ ὅπλα ἐπῆσαν. Ἐκ δὲ τούτου, τῶν στρατιωτῶν θᾶττον προϊόντων σὺν κραυγῇ, ἀπὸ τοῦ αὐτομάτου δρόμος ἐγένετο αὐτοῖς ἐπὶ τὰς σκηνάς, τῶν δὲ βαρβάρων φόβος πολύς, καὶ ἥ τε Κίλισσα ἔφυγεν ἐπὶ τῆς ἁρμαμάξης καὶ οἱ ἐν τῇ ἀγορᾷ καταλιπόντες τὰ ὤνια ἔφυγον. Οἱ δὲ Ἕλληνες σὺν γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον. Ἡ δὲ Κίλισσα ἰδοῦσα τὴν λαμπρότητα καὶ τὴν τάξιν τοῦ στρατεύματος ἐθαύμασε. Κῦρος δὲ ἥσθη τὸν ἐκ τῶν Ἑλλήνων εἰς τοὺς βαρβάρους φόβον ἰδών.

*[Ἀπὸ τὸ Τυριάειον ὁ Κῦρος φθάνει εἰς τὸ Ἰκόνιον, τελευταίαν πόλιν τῆς Φρυγίας· ἀπὸ αὐτὴν προχωρεῖ διὰ μέσου τῆς Λυκαονίας, τὴν ὁποίαν ὡς ἐχθρὰν τῆς σατραπείας του ἐπιτρέπει εἰς τοὺς Ἕλληνας νὰ διαρπάσουν. Ἀπὸ τὴν Λυκαονίαν ὁ Κῦρος ἀποστέλλει μὲ τὸν στρατὸν τοῦ Μένωνος τὴν Ἐπύαξαν εἰς τὴν πατρίδα της, αὐτὸς δὲ μὲ τὸ ὑπόλοιπον στράτευμα προχωρεῖ διὰ μέσου τῆς Καππαδοκίας εἰς τοὺς Ταρσοὺς τὴν πρωτεύουσαν τῆς Κιλικίας.*

*Ὁ βασιλεὺς αὐτῆς Συέννεσις ἀκούσας, ὅτι ὁ πεζικὸς καὶ ναυτικὸς στρατὸς τοῦ Κύρου ἐπλησίαζεν, ἐγκαταλείπει τὴν πρωτεύουσάν του καὶ καταφεύγει εἰς μέρος ὀχυρὸν ἐπάνω εἰς τὰ ὄρη. Ἀλλὰ μετ' ὀλίγον πεισθεὶς ἀπὸ τὴν σύζυγόν του Ἐπύαξαν προσέρχεται πρὸς τὸν Κῦρον, γίνεται φίλος του καὶ τοῦ δίδει χρήματα πολλὰ διὰ τὸ στράτευμα· εἰς ἀνταμοιβὴν δὲ ὁ Κῦρος τὸν τιμᾷ μὲ πολύτιμα δῶρα.*

*Εἰς τὴν Κιλικίαν μένει ὁ Κῦρος εἴκοσιν ἡμέρας· διότι οἱ Ἕλληνες ὑπώπτευον πλέον, ὅτι βαδίζουν ἐναντίον τοῦ μεγάλου βασιλέως· διὰ τοῦτο καὶ ἀρνοῦνται νὰ ἐξακολουθήσουν τὴν πορείαν. Ὁ Κλέαρχος τότε καταφεύγει εἰς πανουργίαν. Προσκαλεῖ εἰς συνέλευσιν τοὺς στρατιώτας καὶ ἐκφράζει μὲ δάκρυα τὴν λύπην του, διότι, ἐνῷ εὐηργετήθη ὑπὸ τοῦ Κύρου διὰ πολλῶν χρημάτων, τὰ ὁποῖα ἐδαπανήθησαν εἰς τὸ στράτευμα, καὶ ἐνῷ ὑπεσχέθη νὰ τοῦ φανῇ χρήσιμος, ἀναγκάζεται τώρα νὰ φανῇ πρὸς αὐτὸν ἀχάριστος καὶ ψεύστης· διαβεβαιώνει ὅμως, ὅτι οὐδέποτε θὰ ἐγκαταλείψῃ τοὺς Ἕλληνας χάριν ξένου ἡγεμόνος, ἀλλὰ θ' ἀκολουθήσῃ αὐτούς, ὅπου καὶ ἂν πορευθοῦν.*

*Μετὰ ταῦτα προσκαλεῖ πάλιν τοὺς στρατιώτας εἰς συνέλευσιν καὶ*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*καταδεικνύει τὴν δύσκολον καὶ ἐπικίνδυνον θέσιν τῶν Ἑλλήνων, ἀφοῦ φανερῶς πλέον ἠρνήθησαν νὰ συμμορφωθοῦν πρὸς τὴν ἐπιθυμίαν τοῦ Κύρου. Ἀφοῦ εἶπον πολλοὶ τὰς γνώμας των, ἀποφασίζεται τέλος νὰ σταλῇ πρεσβεία πρὸς τὸν Κῦρον, ἡ ὁποία νὰ ἐρωτήσῃ αὐτόν, εἰς τί σκέπτεται νὰ χρησιμοποιήσῃ τοὺς Ἕλληνας. Ὁ Κῦρος ἀποκρίνεται, ὅτι ἐπιθυμεῖ νὰ τιμωρήσῃ πλησίον τοῦ Εὐφράτου ποταμοῦ τὸν ἐχθρόν του Ἀβροκόμαν, σατράπην τῆς Φοινίκης, καὶ ὑπόσχεται αὔξησιν μισθοῦ.*

*Οἱ στρατιῶται δέχονται ταῦτα καὶ ἀποφασίζουν ν' ἀκολουθήσουν τὸν Κῦρον, ἂν καὶ ὑπώπτευον, ὅτι οὗτος σκοπεύει νὰ τοὺς ὁδηγήσῃ κατὰ τοῦ μεγάλου βασιλέως.*

*Ἀπὸ τοὺς Ταρσοὺς ὁ Κῦρος, ἀφοῦ διέβη τὴν πεδιάδα τῆς Κιλικίας καὶ τοὺς ποταμοὺς Ψάρον καὶ Πύραμον, φθάνει εἰς Ἰσσούς, τελευταίαν πόλιν τῆς Κιλικίας, ὅπου καταπλέει ὁ στόλος τοῦ Κύρου καὶ ὁ συμμαχικὸς τῶν Λακεδαιμονίων καὶ μαζὶ μὲ αὐτοὺς ὁ Χειρίσοφος ὁ Λακεδαιμόνιος μὲ 700 ὁπλίτας. Ἀπὸ τοὺς Ἰσσούς, ἀφοῦ διῆλθε τὰς πύλας τῆς Κιλικίας καὶ τῆς Συρίας, φθάνει εἰς Μυρίανδον, πόλιν παράλιον καὶ ἐμπορικήν.*

*Μετὰ πορείαν δώδεκα ἡμερῶν φθάνουν εἰς τὴν Θάψακον, πόλιν κειμένην πλησίον τοῦ Εὐφράτου. Ἐδῶ ὁ Κῦρος φανερώνει εἰς τοὺς στρατηγοὺς τῶν Ἑλλήνων τὸν ἀληθῆ σκοπὸν τῆς ἐκστρατείας καὶ προτρέπει αὐτοὺς νὰ πείσουν τοὺς στρατιώτας μὲ κάθε τρόπον νὰ τὸν ἀκολουθήσουν. Οἱ στρατιῶται δυσαρεστοῦνται κατὰ τῶν στρατηγῶν, διότι ἐνόμιζον, ὅτι οὗτοι τοὺς ἀπέκρυπτον ἀπὸ πολλοῦ τὴν ἀλήθειαν· ἀλλ' ἐπὶ τέλους δέχονται νὰ ἀκολουθήσουν τὸν Κῦρον, ὑπὸ τὸν ὅρον νὰ αὐξηθῇ ὁ μισθός των. Ὁ Κῦρος ὑπόσχεται αὔξησιν μισθοῦ καὶ μεγάλας ἀμοιβάς, ἐὰν εἰσέλθουν εἰς τὴν Βαβυλῶνα. Καὶ οὕτω διαβαίνουν πεζοὶ τὸν Εὐφράτην καὶ ἐξακολουθοῦντες τὴν πορείαν διὰ τῆς Συρίας φθάνουν εἰς τὸν ποταμὸν Ἀράξην.*

*Ἀπὸ τὸν Ἀράξην εἰσέρχονται εἰς τὴν Ἀραβίαν καὶ πορευθέντες διὰ μέσου μεγάλης, ὁμαλῆς καὶ ἐρήμου πεδιάδος φθάνουν εἰς τὸν Μάσκαν ποταμὸν καὶ τὴν πόλιν Κορσωτήν, ὅπου μένουν ἡμέρας τρεῖς, διὰ νὰ προμηθευθοῦν τροφάς. Ἔπειτα δὲ πάλιν πορεύονται διὰ μέσου ἐρήμου πεδιάδος δεκατρεῖς ἡμέρας καὶ φθάνουν εἰς τὰς Βαβυλωνίας πύλας, ἀφοῦ ὑπέμειναν πολλὰς κακουχίας δι' ἔλλειψιν τροφίμων· ταῦτα τέλος προμηθεύονται ἀπὸ τὴν Χαρμάνδην, πόλιν κειμένην πέραν τοῦ Εὐφράτου, διαβαίνοντες τὸν ποταμὸν μὲ σχεδίας δερματίνας.*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Μετὰ πορείαν τριῶν ἡμερῶν διὰ μέσου τῆς Βαβυλωνίας ὁ Κῦρος, ἐπειδὴ ἤλπιζε μάχην, ἐπιθεωρεῖ περὶ τὸ μεσονύκτιον τὸν στρατόν του. Κατὰ τὴν ἐπιθεώρησιν ἀριθμηθέντες εὑρίσκονται ὁπλῖται μὲν Ἕλληνες 10.400 καὶ πελτασταὶ 2.500, βάρβαροι δὲ ὑπὸ τὰς διαταγὰς τοῦ Κύρου 100.000 καὶ ἅρματα δρεπανηφόρα 20. Ὁ δὲ στρατὸς τοῦ βασιλέως — κατὰ τὰς εἰδήσεις αὐτομόλων — ἀνήρχετο εἰς 1.200.000 ὑπὸ τέσσαρας στρατηγούς, τὸν Ἀβροκόμαν, τὸν Τισσαφέρνην, τὸν Γωβρύαν καὶ τὸν Ἀρβάκην, εἰς δρεπανηφόρα ἅρματα 200 καὶ εἰς 6.000 ἱππεῖς ὑπὸ τὸν Ἀρταγέρσην· ἐκ τῶν στρατευμάτων τούτων τοῦ βασιλέως παρευρέθησαν εἰς τὴν μάχην 900.000 ἄνδρες καὶ δρεπανηφόρα ἅρματα 150.*

*Μετὰ τὴν ἐπιθεώρησιν τῶν στρατευμάτων κατὰ τὴν πρωίαν ὁ Κῦρος συγκαλέσας τοὺς στρατηγοὺς καὶ λοχαγοὺς τῶν Ἑλλήνων ἐνθαρρύνει αὐτοὺς καὶ προτρέπει νὰ φανοῦν ἄνδρες ἄξιοι τῆς ἐλευθερίας, τὴν ὁποίαν ἔχουν· ἐξαίρων δὲ τὸ ἀγαθὸν αὐτῆς λέγει :* « **τὴν ἐλευθερίαν ἑλοίμην ἂν ἀντὶ ὧν ἔχω πάντων καὶ ἄλλων πολλαπλασίων** ».

*Τὴν ἑπομένην ἡμέραν πορεύεται ἔχων ὅλον τὸν στρατόν του συντεταγμένον, διότι ἐνόμιζεν ἐπικειμένην τὴν ἐπίθεσιν τοῦ βασιλέως· ἀλλ' οὗτος ἀπεσύρθη νοτιώτερον ἀφήσας ἀφύλακτον μίαν μακρὰν καὶ εὐρεῖαν καὶ βαθεῖαν τάφρον, τὴν ὁποίαν εἶχε κατασκευάσει ἀντὶ ὀχυρώματος. Ὁ Κῦρος, ἀφοῦ παρῆλθε τὴν τάφρον αὐτήν, μάτην ἀναμένει τὸν ἀδελφόν· διὰ τοῦτο τὴν ἑπομένην, ἐπειδὴ ἐπίστευεν, ὅτι ὁ βασιλεὺς εἶχεν ἀποφασίσει νὰ μὴ πολεμήσῃ, ἐπορεύετο μὲ ἀταξίαν καὶ ὀλιγωτέραν προσοχήν.]*

## 3. Ἡ παρὰ τὰ Κούναξα μάχη. Νίκη τῶν Ἑλλήνων καὶ θάνατος τοῦ Κύρου.

( **8**, 1 - 27 )

Καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν καὶ πλησίον ἦν ὁ σταθμός, ἔνθα ἔμελλε καταλύειν, ἡνίκα Πατηγύας ἀνὴρ Πέρσης τῶν ἀμφὶ Κῦρον πιστῶν προφαίνεται ἐλαύνων ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ, καὶ εὐθὺς πᾶσιν, οἷς ἐνετύγχανεν, ἐβόα καὶ βαρβαρικῶς καὶ ἑλληνικῶς, ὅτι βασιλεὺς σὺν στρατεύματι πολλῷ προσέρχεται ὡς εἰς μάχην παρεσκευασμένος. § 1 - 3

*2*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἔνθα δὴ πολὺς τάραχος ἐγένετο· αὐτίκα γὰρ ἐδόκουν οἱ Ἕλληνες καὶ οἱ ἄλλοι πάντες ἀτάκτοις σφίσιν ἐπιπεσεῖσθαι· Κῦρός τε καταπηδήσας ἀπὸ τοῦ ἅρματος τὸν θώρακα ἐνέδυ καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον.

§ 4 - 7 Ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθίσταντο, Κλέαρχος μὲν τὸ δεξιὸν κέρας ἔχων πρὸς τῷ Εὐφράτῃ ποταμῷ, Πρόξενος δὲ ἐχόμενος, οἱ δ᾿ ἄλλοι μετὰ τοῦτον, Μένων δὲ τὸ εὐώνυμον κέρας ἔσχε τοῦ Ἑλληνικοῦ. Τοῦ δὲ βαρβαρικοῦ ἱππεῖς μὲν Παφλαγόνες εἰς χιλίους παρὰ Κλέαρχον ἔστησαν ἐν τῷ δεξιῷ καὶ τὸ Ἑλληνικὸν πελταστικόν, ἐν δὲ τῷ εὐωνύμῳ Ἀριαῖός τε ὁ Κύρου ὕπαρχος καὶ τὸ ἄλλο βαρβαρικόν, Κῦρος δὲ καὶ οἱ ἱππεῖς τούτου ὅσον ἑξακόσιοι κατὰ τὸ μέσον, ὡπλισμένοι θώραξι μὲν αὐτοὶ καὶ παραμηριδίοις καὶ κράνεσι πάντες πλὴν Κύρου· Κῦρος δὲ ψιλὴν ἔχων τὴν κεφαλὴν εἰς τὴν μάχην καθίστατο. Οἱ δ᾿ ἵπποι πάντες εἶχον καὶ προμετωπίδια καὶ προστερνίδια· εἶχον δὲ καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς.

§ 8 - 11 Καὶ ἤδη τε ἦν μέσον ἡμέρας καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι· ἡνίκα δὲ δείλη ἐγίγνετο, ἐφάνη κονιορτὸς ὥσπερ νεφέλη λευκή, χρόνῳ δὲ συχνῷ ὕστερον ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπὶ πολύ. Ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἤστραπτε καὶ αἱ λόγχαι καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο. Καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων· Τισσαφέρνης ἐλέγετο τούτων ἄρχειν· ἐχόμενοι δὲ γερροφόροι, ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν. Αἰγύπτιοι δ᾿ οὗτοι ἐλέγοντο εἶναι· ἄλλοι δ᾿ ἱππεῖς, ἄλλοι τοξόται. Πάντες δ᾿ οὗτοι κατὰ ἔθνη ἐπορεύοντο, ἕκαστον δ᾿ ἔθνος ἐν πλαισίῳ πλήρει ἀνθρώπων. Πρὸ δὲ αὐτῶν ἅρματα διαλείποντα συχνὸν ἀπ᾿ ἀλλήλων, τὰ δὴ δρεπανηφόρα καλούμενα· εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νων εἰς πλάγιον ἀποτεταμένα καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν, ὅτῳ ἐντυγχάνοιεν.

Καὶ ἐν τούτῳ Κῦρος παρελαύνων αὐτὸς σὺν Πίγρητι τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι τῷ Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη· « κἂν τοῦτ' », ἔφη, « νικῶμεν, πάνθ' ἡμῖν πεποίηται ». Ὁρῶν δὲ ὁ Κλέαρχος τὸ μέσον στῖφος καὶ ἀκούων Κύρου ἔξω ὄντα τοῦ εὐωνύμου βασιλέα — τοσοῦτον γὰρ πλήθει περιῆν βασιλεύς, ὥστε μέσον τῶν ἑαυτοῦ ἔχων τοῦ Κύρου εὐωνύμου ἔξω ἦν — ἀλλ' ὅμως ὁ Κλέαρχος οὐκ ἤθελεν ἀποσπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος μὴ κυκλωθείη ἑκατέρωθεν, τῷ δὲ Κύρῳ ἀπεκρίνετο, ὅτι αὐτῷ μέλοι, ὅπως καλῶς ἔχοι. § 12 - 13

Καὶ ἐν τούτῳ τῷ καιρῷ τὸ μὲν βαρβαρικὸν στράτευμα ὁμαλῶς προῄει, τὸ δὲ Ἑλληνικόν, ἔτι ἐν τῷ αὐτῷ μένον, συνετάττετο ἐκ τῶν ἔτι προσιόντων. Καὶ ὁ Κῦρος παρελαύνων οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι κατεθεᾶτο ἑκατέρωσε ἀποβλέπων εἴς τε τοὺς πολεμίους καὶ τοὺς φίλους. Ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν Ἀθηναῖος, ὑπελάσας ὡς συναντῆσαι ἤρετο, εἴ τι παραγγέλλοι. Ὁ δὲ ἐπιστήσας εἶπε καὶ λέγειν ἐκέλευε πᾶσιν, ὅτι καὶ τὰ ἱερὰ καλὰ καὶ τὰ σφάγια καλά. Ταῦτα δὲ λέγων θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος καὶ ἤρετο, τίς ὁ θόρυβος εἴη. Ὁ δὲ εἶπεν, ὅτι τὸ σύνθημα παρέρχεται δεύτερον ἤδη. Καὶ ὃς ἐθαύμασε, τίς παραγγέλλει, καὶ ἤρετο, ὅ,τι εἴη τὸ σύνθημα. Ὁ δ' ἀπεκρίνατο· « Ζεὺς σωτὴρ καὶ νίκη ». Ὁ δὲ Κῦρος ἀκούσας « Ἀλλὰ δέχομαί τε », ἔφη, « καὶ τοῦτο ἔστω ». Ταῦτα δ' εἰπὼν εἰς τὴν αὑτοῦ χώραν ἀπήλαυνε. § 14 - 16

Καὶ οὐκέτι τρία ἢ τέτταρα στάδια διειχέτην τὼ φάλαγγε ἀπ' ἀλλήλων, ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες καὶ ἤρχοντο ἀντίοι ἰέναι τοῖς πολεμίοις. Ὡς δὲ πορευομένων ἐξεκύμαινέ § 17 - 20

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τι τῆς φάλαγγος, τὸ ὑπολειπόμενον ἤρξατο δρόμῳ θεῖν· καὶ ἅμα ἐφθέγξαντο πάντες, οἷον τῷ Ἐνυαλίῳ ἐλελίζουσι, καὶ πάντες δὲ ἔθεον. Πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι, ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι. Καὶ ἐνταῦθα δὴ ἐδίωκον μὲν κατὰ κράτος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπεσθαι. Τὰ δ' ἅρματα ἐφέροντο τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων, τὰ δὲ καὶ διὰ τῶν Ἑλλήνων κενὰ ἡνιόχων. Οἱ δ' ἐπεὶ προΐδοιεν, διΐσταντο· ἔστι δ' ὅστις καὶ κατελήφθη ὥσπερ ἐν ἱπποδρόμῳ ἐκπλαγείς· καὶ οὐδὲν μέντοι οὐδὲ τοῦτον παθεῖν ἔφασαν, οὐδ' ἄλλος δὲ τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐδεὶς οὐδέν, πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο.

§ 21 - 24 Κῦρος δ' ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ καθ' αὐτοὺς καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη ὡς βασιλεὺς ὑπὸ τῶν ἀμφ' αὐτόν, οὐδ' ὡς ἐξήχθη διώκειν, ἀλλὰ συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων ἱππέων τάξιν ἐπεμελεῖτο, ὅ,τι ποιήσει βασιλεύς. Καὶ γὰρ ᾔδει αὐτόν, ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ στρατεύματος. Καὶ πάντες δ' οἱ τῶν βαρβάρων ἄρχοντες μέσον ἔχοντες τὸ αὐτῶν ἡγοῦνται, νομίζοντες οὕτω καὶ ἐν ἀσφαλεστάτῳ εἶναι, ἢν ᾖ ἡ ἰσχὺς αὐτῶν ἑκατέρωθεν, καὶ εἴ τι παραγγεῖλαι χρῄζοιεν, ἐν ἡμίσει ἂν χρόνῳ αἰσθάνεσθαι τὸ στράτευμα. Καὶ βασιλεὺς δὴ τότε μέσον ἔχων τῆς αὐτοῦ στρατιᾶς, ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρατος. Ἐπεὶ δ' οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἀντίου οὐδὲ τοῖς αὐτοῦ τεταγμένοις ἔμπροσθεν, ἐπέκαμπτεν ὡς εἰς κύκλωσιν. Ἔνθα δὴ Κῦρος δείσας, μὴ ὄπισθεν γενόμενος κατακόψῃ τὸ Ἑλληνικόν, ἐλαύνει ἀντίος· καὶ ἐμβαλὼν σὺν τοῖς ἑξακοσίοις νικᾷ τοὺς πρὸ βασιλέως τεταγμένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρταγέρσην τὸν ἄρχοντα αὐτῶν.

§ 25 - 27 Ὡς δ' ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ Κύρου ἑξα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κόσιοι εἰς τὸ διώκειν ὁρμήσαντες, πλὴν πάνυ ὀλίγοι ἀμφ' αὐτὸν κατελείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι. Σὺν τούτοις δὲ ὢν καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον στῖφος· καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ' εἰπὼν « τὸν ἄνδρα ὁρῶ » ἵετο ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας ὁ ἰατρός, καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φησι. Παίοντα δ' αὐτὸν ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· καὶ ἐνταῦθα ἐμάχοντο καὶ βασιλεὺς καὶ Κῦρος καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρου· καὶ ὁπόσοι μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθνῃσκον, Κτησίας λέγει· παρ' ἐκείνῳ γὰρ ἦν. Κῦρος δὲ αὐτός τε ἀπέθανε καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ.

*[Χαρακτηρισμὸς τοῦ Κύρου]: Ὁ Κῦρος κατὰ τὴν παιδικήν του ἡλικίαν ἦτο σεμνὸς μεταξὺ τῶν συνομηλίκων του, εὐπειθὴς πρὸς τοὺς μεγαλυτέρους του, φιλομαθὴς καὶ μελετηρός· ἠγάπα τὴν ἱππασίαν, τὴν θήραν, τὰς πολεμικὰς ἀσκήσεις καὶ ἦτο πολὺ ῥιψοκίνδυνος.*

*Ὅτε ἐνηλικιώθη καὶ ἔγινε σατράπης, ὑπῆρξε φιλαλήθης καὶ πιστὸς εἰς τὰς συναλλαγάς, τὰς ὑποσχέσεις καὶ τὰς φιλίας. Ἠγάπα τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην, κατεδίωκε τοὺς κακοὺς καὶ περιεποιεῖτο τοὺς δικαίως πλουτοῦντας καὶ οὐχὶ τοὺς αἰσχροκερδεῖς. Ἦτο εὐγνώμων εἰς τοὺς εὐεργέτας του καὶ μεγαλόδωρος εἰς τὰς εὐεργεσίας του. Δι' ὅλα αὐτὰ τόσον εἵλκυσε τὴν ἀγάπην τῶν γνωρίμων του, ὥστε πάντες ἦσαν πρόθυμοι νὰ ῥιψοκινδυνεύσουν ὑπὲρ αὐτοῦ. ]*

### 4. Συνέχεια τῆς μάχης. Δευτέρα νίκη τῶν Ἑλλήνων.

( **10**, 1 - 19 )

Ἐνταῦθα δὴ Κύρου ἀποτέμνεται ἡ κεφαλὴ καὶ ἡ χεὶρ ἡ § 1-4
δεξιά. Βασιλεὺς δὲ καὶ οἱ σὺν αὐτῷ διώκων εἰσπίπτει εἰς τὸ Κύρειον στρατόπεδον· καὶ οἱ μὲν μετὰ Ἀριαίου οὐκέτι ἵστανται, ἀλλὰ φεύγουσι διὰ τοῦ αὐτῶν στρατοπέδου εἰς τὸν στα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θμόν, ἔνθεν ὥρμηντο. Βασιλεὺς δὲ καὶ οἱ σὺν αὐτῷ διαρπάζουσι πολλά. Ἐνταῦθα διέσχον ἀλλήλων βασιλεύς τε καὶ οἱ Ἕλληνες ὡς τριάκοντα στάδια, οἱ μὲν διώκοντες τοὺς καθ' αὑτούς, οἱ δ' ἁρπάζοντες ὡς ἤδη πάντα νικῶντες.

§ 5 Ἐπεὶ δ' ᾔσθοντο οἱ μὲν Ἕλληνες, ὅτι βασιλεὺς σὺν τῷ στρατεύματι ἐν τοῖς σκευοφόροις εἴη, βασιλεὺς δ' αὖ ἤκουσε Τισσαφέρνους, ὅτι οἱ Ἕλληνες νικῷεν τὸ καθ' αὑτοὺς καὶ εἰς τὸ πρόσθεν οἴχονται διώκοντες, ἔνθα δὴ βασιλεὺς μὲν ἀθροίζει τε τοὺς ἑαυτοῦ καὶ συντάττεται, ὁ δὲ Κλέαρχος ἐβουλεύετο Πρόξενον καλέσας, πλησιαίτατος γὰρ ἦν, εἰ πέμποιέν τινας ἢ πάντες ἴοιεν ἐπὶ τὸ στρατόπεδον ἀρήξοντες.

§ 6 - 8 Ἐν τούτῳ καὶ βασιλεὺς δῆλος ἦν προσιὼν πάλιν, ὡς ἐδόκει, ὄπισθεν. Καὶ οἱ μὲν Ἕλληνες στραφέντες, παρεσκευάζοντο ὡς δεξόμενοι αὐτὸν ταύτῃ προσιόντα· ὁ δὲ βασιλεὺς ταύτῃ μὲν οὐκ ἦγεν, ᾗ δὲ παρῆλθεν ἔξω τοῦ εὐωνύμου κέρατος, ταύτῃ καὶ ἀπῆγεν, ἀναλαβὼν καὶ τοὺς ἐν τῇ μάχῃ πρὸς τοὺς Ἕλληνας αὐτομολήσαντας καὶ Τισσαφέρνην καὶ τοὺς σὺν αὐτῷ. Ὁ γὰρ Τισσαφέρνης ἐν τῇ πρώτῃ συνόδῳ οὐκ ἔφυγεν, ἀλλὰ διήλασε παρὰ τὸν ποταμὸν κατὰ τοὺς Ἕλληνας πελταστάς· διελαύνων δὲ κατέκανε μὲν οὐδένα, διαστάντες δ' οἱ Ἕλληνες ἔπαιον καὶ ἠκόντιζον αὐτούς· Ἐπισθένης δὲ Ἀμφιπολίτης ἦρχε τῶν πελταστῶν καὶ ἐλέγετο φρόνιμος γενέσθαι. Ὁ δ' οὖν Τισσαφέρνης, ὡς μεῖον ἔχων ἀπηλλάγη, πάλιν μὲν οὐκ ἀναστρέφει, εἰς δὲ τὸ στρατόπεδον ἀφικόμενος τὸ τῶν Ἑλλήνων ἐκεῖ συντυγχάνει βασιλεῖ, καὶ ὁμοῦ δὴ πάλιν συνταξάμενοι ἐπορεύοντο.

§ 9 - 10 Ἐπεὶ δ' ἦσαν κατὰ τὸ εὐώνυμον τῶν Ἑλλήνων κέρας, ἔδεισαν οἱ Ἕλληνες, μὴ προσάγοιεν πρὸς τὸ κέρας καὶ περιπτύξαντες ἀμφοτέρωθεν αὐτοὺς κατακόψειαν· καὶ ἐδόκει αὐτοῖς ἀναπτύσσειν τὸ κέρας καὶ ποιήσασθαι ὄπισθεν τὸν ποταμόν. Ἐν ᾧ δὲ ταῦτα ἐβουλεύοντο, καὶ δὴ βασιλεὺς παρελ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θῶν εἰς τὸ αὐτὸ σχῆμα κατέστησεν ἀντίαν τὴν φάλαγγα, ὥσπερ τὸ πρῶτον μαχούμενος ᾔει.

Ὡς δὲ εἶδον οἱ Ἕλληνες ἐγγύς τε ὄντας καὶ παρατεταγμένους, αὖθις παιανίσαντες ἐπῆσαν πολὺ ἔτι προθυμότερον ἢ τὸ πρόσθεν. Οἱ δ' αὖ βάρβαροι οὐκ ἐδέχοντο, ἀλλ' ἐκ πλείονος ἢ τὸ πρόσθεν ἔφευγον· οἱ δ' ἐπεδίωκον μέχρι κώμης τινός· ἐνταῦθα δ' ἔστησαν οἱ Ἕλληνες· ὑπὲρ γὰρ τῆς κώμης γήλοφος ἦν, ἐφ' οὗ ἀνεστράφησαν οἱ ἀμφὶ βασιλέα, πεζοὶ μὲν οὐκέτι, τῶν δὲ ἱππέων ὁ λόφος ἐνεπλήσθη, ὥστε τὸ ποιούμενον μὴ γιγνώσκειν. Καὶ τὸ βασίλειον σημεῖον ὁρᾶν ἔφασαν ἀετόν τινα χρυσοῦν ἐπὶ πέλτης ἀνατεταμένον. Ἐπεὶ δὲ καὶ ἐνταῦθ' ἐχώρουν οἱ Ἕλληνες, λείπουσι δὴ καὶ τὸν λόφον οἱ ἱππεῖς· οὐ μὴν ἔτι ἀθρόοι, ἀλλ' ἄλλοι ἄλλοθεν· ἐψιλοῦτο δ' ὁ λόφος τῶν ἱππέων· τέλος δὲ καὶ πάντες ἀπεχώρησαν. Ὁ οὖν Κλέαρχος οὐκ ἀνεβίβαζεν ἐπὶ τὸν λόφον, ἀλλ' ὑπ' αὐτὸν στήσας τὸ στράτευμα πέμπει Λύκιον τὸν Συρακόσιον καὶ ἄλλον ἐπὶ τὸν λόφον καὶ κελεύει κατιδόντας τὰ ὑπὲρ τοῦ λόφου, τί ἐστιν, ἀπαγγεῖλαι. Καὶ ὁ Λύκιος ἤλασέ τε καὶ ἰδὼν ἀπαγγέλλει, ὅτι φεύγουσιν ἀνὰ κράτος. Σχεδὸν δέ, ὅτε ταῦτα ἦν, καὶ ἥλιος ἐδύετο. § 11 - 15

Ἐνταῦθα δ' ἔστησαν οἱ Ἕλληνες καὶ θέμενοι τὰ ὅπλα ἀνεπαύοντο· καὶ ἅμα μὲν ἐθαύμαζον, ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο οὐδ' ἄλλος ἀπ' αὐτοῦ οὐδεὶς παρῄει· οὐ γὰρ ᾔδεσαν αὐτὸν τεθνηκότα, ἀλλ' εἴκαζον ἢ διώκοντα οἴχεσθαι ἢ καταληψόμενόν τι προεληλακέναι· ἅμα δ' ἐβουλεύοντο, εἰ αὐτοῦ μείναντες τὰ σκευοφόρα ἐνταῦθα ἄγοιντο ἢ ἀπίοιεν ἐπὶ τὸ στρατόπεδον. Ἔδοξεν αὐτοῖς ἀπιέναι· καὶ ἀφικνοῦνται περὶ δείπνου ὥραν ἐπὶ τὰς σκηνάς. Ταύτης μὲν τῆς ἡμέρας τοῦτο τὸ τέλος ἐγένετο. Καταλαμβάνουσι δὲ τῶν τε ἄλλων χρημάτων τὰ πλεῖστα διηρπασμένα καὶ εἴ τι σιτίον ἢ ποτὸν ἦν, καὶ τὰς ἁμάξας μεστὰς ἀλεύρων καὶ οἴνου, ἃς παρεσκευάσατο § 16 - 19

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Κῦρος, ἵνα, εἴ ποτε σφοδρὰ τὸ στράτευμα λάβοι ἔνδεια, διαδοίη τοῖς Ἕλλησιν — ἦσαν δ' αὗται τετρακόσιαι ἅμαξαι —, καὶ ταύτας τότε οἱ σὺν βασιλεῖ διήρπασαν. Ὥστε ἄδειπνοι ἦσαν οἱ πλεῖστοι τῶν Ἑλλήνων· ἦσαν δὲ καὶ ἀνάριστοι· πρὶν γὰρ δὴ καταλῦσαι τὸ στράτευμα πρὸς ἄριστον, βασιλεὺς ἐφάνη. Ταύτην μὲν οὖν τὴν νύκτα οὕτω διεγένοντο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

## ΑΠΟ ΤΑ ΚΟΥΝΑΞΑ ΕΩΣ ΤΟΝ ΖΑΠΑΤΑΝ ΠΟΤΑΜΟΝ

**( Σεπτέμβριος - ᾿Οκτώβριος τοῦ 401 π. Χ. )**

### 5. Διαπραγματεύσεις τῶν Ἑλλήνων μετὰ τοῦ ᾿Αριαίου καὶ τοῦ ᾿Αρταξέρξου.

( **1**, 2 - 23 )

§ 2 - 3 Ἅμα δὲ τῇ ἡμέρᾳ συνελθόντες οἱ στρατηγοὶ ἐθαύμαζον, ὅτι Κῦρος οὔτε ἄλλον πέμποι σημανοῦντα, ὅ,τι χρὴ ποιεῖν, οὔτε αὐτὸς φαίνοιτο. Ἔδοξεν οὖν αὐτοῖς συσκευασαμένοις, ἃ εἶχον, καὶ ἐξοπλισαμένοις προϊέναι εἰς τὸ πρόσθεν, ἕως Κύρῳ συμμείξειαν. Ἤδη δὲ ἐν ὁρμῇ ὄντων, ἅμα ἡλίῳ ἀνέχοντι ἦλθε Προκλῆς ὁ Τευθρανίας ἄρχων καὶ Γλοῦς ὁ Ταμῶ. Οὗτοι ἔλεγον, ὅτι Κῦρος μὲν τέθνηκεν, ᾿Αριαῖος δὲ πεφευγὼς ἐν τῷ σταθμῷ εἴη μετὰ τῶν ἄλλων βαρβάρων, ὅθεν τῇ προτεραίᾳ ὥρμηντο, καὶ λέγοι, ὅτι ταύτην μὲν τὴν ἡμέραν περιμενοῖεν αὐτούς, εἰ μέλλοιεν ἥκειν, τῇ δὲ ἄλλῃ ἀπιέναι φαίη ἐπὶ ᾿Ιωνίας, ὅθενπερ ἦλθε.

§ 4 - 5 Ταῦτα ἀκούσαντες οἱ στρατηγοὶ καὶ οἱ ἄλλοι Ἕλληνες πυνθανόμενοι βαρέως ἔφερον. Κλέαρχος δὲ τάδε εἶπεν· «᾿Αλλ' ὤφελε μὲν Κῦρος ζῆν· ἐπεὶ δὲ τετελεύτηκεν, ἀπαγγέλλετε ᾿Αριαίῳ, ὅτι ἡμεῖς νικῶμέν τε βασιλέα καί, ὡς ὁρᾶτε, οὐδεὶς ἔτι ἡμῖν μάχεται, καί, εἰ μὴ ὑμεῖς ἤλθετε, ἐπορευόμεθα ἂν ἐπὶ βασιλέα. ᾿Επαγγελλόμεθα δὲ ᾿Αριαίῳ, ἐὰν ἐνθάδε ἔλθῃ, εἰς τὸν θρόνον τὸν βασίλειον καθιεῖν αὐτόν· τῶν γὰρ μάχῃ νικώντων καὶ τὸ ἄρχειν ἐστί ». Ταῦτα εἰπὼν ἀποστέλλει τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγγέλους καὶ σὺν αὐτοῖς Χειρίσοφον τὸν Λάκωνα καὶ Μένωνα τὸν Θετταλόν· καὶ γὰρ αὐτὸς Μένων ἐβούλετο· ἦν γὰρ φίλος καὶ ξένος Ἀριαίου.

§ 6 Οἱ μὲν ᾤχοντο, Κλέαρχος δὲ περιέμενε· τὸ δὲ στράτευμα ἐπορίζετο σῖτον, ὅπως ἐδύνατο, ἐκ τῶν ὑποζυγίων κόπτοντες τοὺς βοῦς καὶ ὄνους· ξύλοις δὲ ἐχρῶντο μικρὸν προϊόντες ἀπὸ τῆς φάλαγγος, οὗ ἡ μάχη ἐγένετο, τοῖς τε οἰστοῖς πολλοῖς οὖσιν, οὓς ἠνάγκαζον οἱ Ἕλληνες ἐκβάλλειν τοὺς αὐτομολοῦντας παρὰ βασιλέως, καὶ τοῖς γέρροις καὶ ταῖς ἀσπίσι ταῖς ξυλίναις ταῖς Αἰγυπτίαις· πολλαὶ δὲ καὶ πέλται καὶ ἅμαξαι ἦσαν φέρεσθαι ἔρημοι· οἷς πᾶσι χρώμενοι κρέα ἕψοντες ἤσθιον ἐκείνην τὴν ἡμέραν.

§ 7 - 8 Καὶ ἤδη τε ἦν ἀμφὶ πλήθουσαν ἀγορὰν καὶ ἔρχονται παρὰ βασιλέως καὶ Τισσαφέρνους κήρυκες, οἱ μὲν ἄλλοι βάρβαροι, εἷς δὲ Ἕλλην, Φαλῖνος, ὃς ἐτύγχανε παρὰ Τισσαφέρνει ὢν καὶ ἐντίμως ἔχων· καὶ γὰρ προσεποιεῖτο ἐπιστήμων εἶναι τῶν ἀμφὶ τάξεις τε καὶ ὁπλομαχίαν. Οὗτοι δὲ προσελθόντες καὶ καλέσαντες τοὺς τῶν Ἑλλήνων ἄρχοντας λέγουσιν, ὅτι βασιλεὺς κελεύει τοὺς Ἕλληνας, ἐπεὶ νικῶν τυγχάνει καὶ Κῦρον ἀπέκτονε, παραδόντας τὰ ὅπλα ἰόντας ἐπὶ τὰς βασιλέως θύρας εὑρίσκεσθαι, ἄν τι δύνωνται ἀγαθόν.

§ 9 - 11 Ταῦτα μὲν εἶπον οἱ βασιλέως κήρυκες· οἱ δὲ Ἕλληνες βαρέως μὲν ἤκουσαν, ὅμως δὲ Κλέαρχος τοσοῦτον εἶπεν, ὅτι οὐ τῶν νικώντων εἴη τὰ ὅπλα παραδιδόναι· « ἀλλ' », ἔφη, « ὑμεῖς μέν, ὦ ἄνδρες στρατηγοί, τούτοις ἀποκρίνασθε, ὅ,τι κάλλιστόν τε καὶ ἄριστον ἔχετε· ἐγὼ δὲ αὐτίκα ἥξω ». Ἐκάλεσε γάρ τις αὐτὸν τῶν ὑπηρετῶν, ὅπως ἴδοι τὰ ἱερὰ ἐξῃρημένα· ἔτυχε γὰρ θυόμενος. Ἔνθα δὴ ἀπεκρίνατο Κλεάνωρ ὁ Ἀρκὰς πρεσβύτατος ὤν, ὅτι πρόσθεν ἂν ἀποθάνοιεν ἢ τὰ ὅπλα παραδοῖεν. Πρόξενος δὲ ὁ Θηβαῖος· «Ἀλλ' ἐγώ », ἔφη, « ὦ Φαλῖνε, θαυμάζω, πότερα ὡς κρατῶν βασιλεὺς αἰτεῖ τὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὅπλα ἢ ὡς διὰ φιλίαν δῶρα. Εἰ μὲν γὰρ ὡς κρατῶν, τί δεῖ αὐτὸν αἰτεῖν καὶ οὐ λαβεῖν ἐλθόντα ; εἰ δὲ πείσας βούλεται λαβεῖν, λεγέτω, τί ἔσται τοῖς στρατιώταις, ἐὰν αὐτῷ ταῦτα χαρίσωνται ». Πρὸς ταῦτα Φαλῖνος εἶπε· « Βασιλεὺς νικᾶν ἡγεῖται, ἐπεὶ Κῦρον ἀπέκτονε. Τίς γὰρ αὐτῷ ἔτι τῆς ἀρχῆς ἀντιποιεῖται ; νομίζει δὲ καὶ ὑμᾶς ἑαυτοῦ εἶναι, ἔχων ἐν μέσῃ τῇ ἑαυτοῦ χώρᾳ καὶ ποταμῶν ἐντὸς ἀδιαβάτων καὶ πλῆθος ἀνθρώπων ἐφ' ὑμᾶς δυνάμενος ἀγαγεῖν, ὅσον οὐδ', εἰ παρέχοι ὑμῖν, δύναισθε ἂν ἀποκτεῖναι ».

Μετὰ τοῦτον Θεόπομπος Ἀθηναῖος εἶπεν· « Ὦ Φαλῖνε, § 12 - 14
νῦν, ὡς σὺ ὁρᾷς, ἡμῖν οὐδὲν ἔστιν ἀγαθὸν ἄλλο εἰ μὴ ὅπλα καὶ ἀρετή. Ὅπλα μὲν οὖν ἔχοντες οἰόμεθα ἂν καὶ τῇ ἀρετῇ χρῆσθαι, παραδόντες δ' ἂν ταῦτα καὶ τῶν σωμάτων στερηθῆναι. Μὴ οὖν οἴου τὰ μόνα ἀγαθὰ ἡμῖν ὄντα ὑμῖν παραδώσειν, ἀλλὰ σὺν τούτοις καὶ περὶ τῶν ὑμετέρων ἀγαθῶν μαχούμεθα ». Ἀκούσας δὲ ταῦτα ὁ Φαλῖνος ἐγέλασε καὶ εἶπεν· « Ἀλλὰ φιλοσόφῳ μὲν ἔοικας, ὦ νεανίσκε, καὶ λέγεις οὐκ ἀχάριτα· ἴσθι μέντοι ἀνόητος ὤν, εἰ οἴει τὴν ὑμετέραν ἀρετὴν περιγενέσθαι ἂν τῆς βασιλέως δυνάμεως ».

Ἐν τούτῳ Κλέαρχος ἧκε καὶ ἠρώτησεν, εἰ ἤδη ἀποκε- § 15 - 18
κριμένοι εἶεν. Φαλῖνος δὲ ὑπολαβὼν εἶπεν· « Οὗτοι μέν, ὦ Κλέαρχε, ἄλλος ἄλλα λέγει· σὺ δ' ἡμῖν εἰπέ, τί λέγεις ». Ὁ δ' εἶπεν· « Ἐγώ σε, ὦ Φαλῖνε, ἄσμενος ἑόρακα, καὶ οἱ ἄλλοι δέ, οἶμαι, πάντες· σύ τε γὰρ Ἕλλην εἶ καὶ ἡμεῖς τοσοῦτοι ὄντες, ὅσους σὺ ὁρᾷς· ἐν τοιούτοις δὲ ὄντες πράγμασι συμβουλευόμεθά σοι, τί χρὴ ποιεῖν περὶ ὧν λέγεις. Σὺ οὖν πρὸς θεῶν συμβούλευσον ἡμῖν, ὅ,τι σοι δοκεῖ κάλλιστον καὶ ἄριστον εἶναι, καὶ ὅ σοι τιμὴν οἴσει εἰς τὸν ἔπειτα χρόνον ἀεὶ λεγόμενον, ὅτι Φαλῖνός ποτε πεμφθεὶς παρὰ βασιλέως κελεύσων τοὺς Ἕλληνας τὰ ὅπλα παραδοῦναι συμβουλευομένοις συνεβούλεσεν αὐτοῖς τάδε. Οἶσθα δέ, ὅτι ἀνάγκη λέγεσθαι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐν τῇ Ἑλλάδι, ἃ ἂν συμβουλεύσῃς ». Ὁ δὲ Κλέαρχος ταῦτα ὑπήγετο βουλόμενος καὶ αὐτὸν τὸν παρὰ βασιλέως πρεσβεύοντα συμβουλεῦσαι μὴ παραδοῦναι τὰ ὅπλα, ὅπως εὐέλπιδες μᾶλλον εἶεν οἱ Ἕλληνες.

§ 19 Φαλῖνος δὲ ὑποστρέψας παρὰ τὴν δόξαν αὐτοῦ εἶπεν· « Ἐγώ, εἰ μὲν τῶν μυρίων ἐλπίδων μία τις ὑμῖν ἐστι σωθῆναι πολεμοῦντας βασιλεῖ, συμβουλεύω μὴ παραδιδόναι τὰ ὅπλα· εἰ δ' ὅμως μηδεμία σωτηρίας ἐστὶν ἐλπὶς ἄκοντος βασιλέως, συμβουλεύω σῴζεσθαι ὑμῖν, ὅπῃ δυνατόν ».

§ 20 - 28 Κλέαρχος δὲ πρὸς ταῦτα εἶπεν· « Ἀλλὰ ταῦτα μὲν δὴ σὺ λέγεις· παρ' ἡμῶν δὲ ἀπάγγελλε τάδε, ὅτι ἡμεῖς οἰόμεθα, εἰ μὲν δέοι βασιλεῖ φίλους εἶναι, πλείονος ἂν ἄξιοι εἶναι φίλοι ἔχοντες τὰ ὅπλα ἤ παραδόντες ἄλλῳ, εἰ δὲ δέοι πολεμεῖν, ἄμεινον ἂν πολεμεῖν ἔχοντες τὰ ὅπλα ἢ ἄλλῳ παραδόντες ». Ὁ δὲ Φαλῖνος εἶπε· « Ταῦτα μὲν δὴ ἀπαγγελοῦμεν· ἀλλὰ καὶ τάδε ὑμῖν εἰπεῖν ἐκέλευσε βασιλεύς, ὅτι μένουσι μὲν ὑμῖν αὐτοῦ σπονδαὶ εἶεν, προϊοῦσι δὲ καὶ ἀπιοῦσι πόλεμος. Εἴπατε οὖν καὶ περὶ τούτου, πότερα μενεῖτε καὶ σπονδαί εἰσιν, ἢ ὡς πόλεμός ἐστι παρ' ὑμῶν ἀπαγγελῶ ». Κλέαρχος δ' ἔλεξεν· « Ἀπάγγελλε τοίνυν καὶ περὶ τούτου, ὅτι καὶ ἡμῖν ταὐτὰ δοκεῖ, ἅπερ καὶ βασιλεῖ ». « Τί οὖν ταῦτά ἐστιν ; », ἔφη ὁ Φαλῖνος. Ἀπεκρίνατο Κλέαρχος· « Ἢν μὲν μένωμεν, σπονδαί εἰσιν, ἀπιοῦσι δὲ καὶ προϊοῦσι πόλεμος ». Ὁ δὲ πάλιν ἠρώτησε· « Σπονδὰς ἢ πόλεμον ἀπαγγελῶ ; » Κλέαρχος δὲ ταὐτὰ πάλιν ἀπεκρίνατο· « Σπονδαὶ μὲν μένουσιν, ἀπιοῦσι δὲ καὶ προϊοῦσι πόλεμος ». Ὅ,τι δὲ ποιήσοι, οὐ διεσήμηνε.

*[ Μετὰ τὴν ἀναχώρησιν τοῦ Φαλίνου ἐπιστρέψαντες οἱ ἀποσταλέντες εἰς τὸν Ἀριαῖον Προκλῆς καὶ Χειρίσοφος λέγουν εἰς τοὺς Ἕλληνας, ὅτι ὁ Ἀριαῖος τὴν μὲν βασιλείαν δὲν δέχεται, περιμένει ὅμως αὐτοὺς νὰ ἔλθουν ταύτην τὴν νύκτα, ἂν θέλουν ν' ἀναχωρήσουν. Ὁ Κλέαρχος ὁριστικὸν οὐδὲν ἀπαντᾷ· ἀλλὰ μετὰ κοινὴν ἀπόφασιν τῶν*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*στρατηγῶν καὶ λοχαγῶν μετὰ τὸ δεῖπνον προσέρχονται πρὸς τὸν Ἀριαῖον καὶ ἐδῶ περὶ τὸ μεσονύκτιον συνάπτουν μὲ αὐτὸν φιλίαν καὶ συμμαχίαν καὶ ὁρκίζονται ἀμοιβαίως νὰ μὴ προδώσουν ἀλλήλους· οἱ δὲ βάρβαροι ἐπὶ πλέον ὁρκίζονται νὰ τοὺς ὁδηγοῦν χωρὶς δόλον.*

*Μετὰ τοὺς ὅρκους κατὰ πρότασιν τοῦ Ἀριαίου ἀποφασίζουν νὰ μὴ ἐπιστρέψουν διὰ τῆς αὐτῆς ὁδοῦ, κατὰ τὴν ὁποίαν θὰ ἔλειπον αἱ τροφαί, ἀλλὰ νὰ προτιμήσουν ἄλλην ὁδὸν μακροτέραν μέν, ἀλλ' ἔχουσαν ἄφθονα τρόφιμα, τὴν πρὸς βορρᾶν διὰ τῆς Βαβυλωνίας πεδιάδος.*

*Τὴν ἀκόλουθον ἡμέραν κατὰ τὴν πορείαν φαίνονται μὲν σημεῖα, ὅτι οἱ πολέμιοι δὲν ἀπεῖχον πολύ, ἀλλὰ περὶ τὴν ἑσπέραν, χωρὶς νὰ γίνῃ συμπλοκή, κατασκηνοῦν μὲ πολὺν θόρυβον εἰς κώμας, ἀπὸ τὰς ὁποίας ὁ βασιλικὸς στρατὸς εἶχε διαρπάσει καὶ αὐτὰ ἀκόμη τὰ ξύλα τῶν οἰκιῶν. Ἀπὸ τὴν θορυβώδη δ' αὐτὴν κατασκήνωσιν τῶν Ἑλλήνων φοβηθέντες οἱ πλησιέστατα αὐτῶν κατασκηνοῦντες πολέμιοι ἀφήνουν τὰς σκηνάς των καὶ φεύγουν· ἐτρόμαξε δέ, καθὼς φαίνεται, καὶ αὐτὸς ὁ βασιλεὺς μὲ τὴν προσέλευσιν αὐτὴν τοῦ στρατεύματος.]*

## 6. Σπονδαὶ μεταξὺ βασιλέως καὶ Ἑλλήνων.

( **3**, 1 - 14, 17 - 29 )

Ὃ δὲ δὴ ἔγραψα, ὅτι βασιλεὺς ἐξεπλάγη τῇ ἐφόδῳ, τῷδε δῆλον ἦν. Τῇ μὲν γὰρ πρόσθεν ἡμέρᾳ πέμπων τὰ ὅπλα παραδιδόναι ἐκέλευε, τότε δὲ ἅμα ἡλίῳ ἀνατέλλοντι κήρυκας ἔπεμψε περὶ σπονδῶν. Οἱ δέ, ἐπεὶ ἦλθον πρὸς τοὺς προφύλακας, ἐζήτουν τοὺς ἄρχοντας. Ἐπειδὴ δὲ ἀπήγγελλον οἱ προφύλακες, Κλέαρχος, τυχὼν τότε τὰς τάξεις ἐπισκοπῶν, εἶπε τοῖς προφύλαξι κελεύειν τοὺς κήρυκας περιμένειν, ἄχρι ἂν σχολάσῃ. § 1 - 2

Ἐπεὶ δὲ κατέστησε τὸ στράτευμα, ὥστε ὁρᾶσθαι πάντῃ φάλαγγα πυκνήν, τῶν ἀόπλων δὲ μηδένα καταφανῆ εἶναι, ἐκάλεσε τοὺς ἀγγέλους, καὶ αὐτός τε προῆλθε τούς τε εὐοπλοτάτους ἔχων καὶ εὐειδεστάτους τῶν αὑτοῦ στρατιωτῶν καὶ τοῖς ἄλλοις στρατηγοῖς ταὐτὰ ἔφρασεν. Ἐπεὶ δὲ ἦν πρὸς § 3 - 5

317823
Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῖς ἀγγέλοις, ἀνηρώτα, τί βούλοιντο. Οἱ δ᾽ ἔλεγον, ὅτι περὶ σπονδῶν ἥκοιεν ἄνδρες, οἵτινες ἱκανοὶ ἔσονται τά τε παρὰ βασιλέως τοῖς Ἕλλησιν ἀπαγγεῖλαι καὶ τὰ παρὰ τῶν Ἑλλήνων βασιλεῖ. Ὁ δὲ ἀπεκρίνατο· « Ἀπαγγέλλετε τοίνυν αὐτῷ, ὅτι μάχης δεῖ πρῶτον· ἄριστον γὰρ οὐκ ἔστιν οὐδ᾽ ὁ τολμήσων περὶ σπονδῶν λέγειν τοῖς Ἕλλησι μὴ πορίσας ἄριστον ».

§ 6 - 7 Ταῦτα ἀκούσαντες οἱ ἄγγελοι ἀπήλαυνον, καὶ ἧκον ταχύ· ᾧ καὶ δῆλον ἦν, ὅτι ἐγγύς που βασιλεὺς ἦν ἢ ἄλλος τις, ᾧ ἐπετέκτατο ταῦτα πράττειν· ἔλεγον δέ, ὅτι εἰκότα δοκοῖεν λέγειν βασιλεῖ, καὶ ἥκοιεν ἡγεμόνας ἔχοντες, οἳ αὐτούς, ἐὰν σπονδαὶ γένωνται, ἄξουσιν, ἔνθεν ἕξουσι τὰ ἐπιτήδεια.

§ 8 - 9 Ἐπεὶ δὲ ταῦτα εἶπον, μεταστησάμενος αὐτοὺς ὁ Κλέαρχος ἐβουλεύετο σὺν τοῖς ἄλλοις στρατηγοῖς· καὶ ἐδόκει αὐτοῖς τὰς σπονδὰς ποιεῖσθαι ταχὺ καὶ καθ᾽ ἡσυχίαν ἐλθεῖν τε ἐπὶ τὰ ἐπιτήδεια καὶ λαβεῖν. Ὁ δὲ Κλέαρχος εἶπε· « Δοκεῖ μὲν κἀμοὶ ταῦτα· οὐ μέντοι ταχύ γε ἀπαγγελῶ, ἀλλὰ διατρίψω, ἕως ἂν ὀκνήσωσιν οἱ ἄγγελοι, μὴ ἀποδόξῃ ἡμῖν τὰς σπονδὰς ποιήσασθαι· οἶμαί γε μέντοι », ἔφη, « καὶ τοῖς ἡμετέροις στρατιώταις τὸν αὐτὸν φόβον παρέσεσθαι ». Ἐπεὶ δὲ ἐδόκει καιρὸς εἶναι, ἀπήγγελλεν, ὅτι σπένδοιτο, καὶ εὐθὺς ἡγεῖσθαι ἐκέλευε πρὸς τἀπιτήδεια.

§ 10 - 14 Καὶ οἱ μὲν ἡγοῦντο, Κλέαρχος δ᾽ εἵπετο ἔχων τὸ στράτευμα ἐν τάξει. Καὶ ἐνετύγχανον τάφροις καὶ αὐλῶσιν ὕδατος πλήρεσιν, ὡς μὴ δύνασθαι διαβαίνειν ἄνευ γεφυρῶν· ἀλλ᾽ ἐποιοῦντο διαβάσεις ἐκ τῶν φοινίκων, οὓς ηὕρισκον ἐκπεπτωκότας, ἐνίους δὲ καὶ ἐξέκοπτον. Πορευόμενοι δὲ ἀφίκοντο εἰς κώμας, ὅθεν ἀπέδειξαν οἱ ἡγεμόνες λαμβάνειν τὰ ἐπιτήδεια. Ἐνῆν δὲ σῖτος πολὺς καὶ οἶνος φοινίκων καὶ ὄξος ἑψητὸν ἀπὸ τῶν αὐτῶν.

§ 15 - 20 Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· καὶ παρὰ μεγάλου βασι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λέως ἧκε Τισσαφέρνης καὶ ὁ τῆς βασιλέως γυναικὸς ἀδελφὸς καὶ ἄλλοι Πέρσαι τρεῖς· δοῦλοι δὲ πολλοὶ εἵποντο. Ἐπεὶ δὲ ἀπήντησαν αὐτοῖς οἱ τῶν Ἑλλήνων στρατηγοί, ἔλεγε πρῶτος Τισσαφέρνης δι' ἑρμηνέως τοιάδε· « Ἐγώ, ὦ ἄνδρες Ἕλληνες, γείτων οἰκῶ τῇ Ἑλλάδι, καὶ ἐπεὶ ὑμᾶς εἶδον εἰς πολλὰ καὶ ἀμήχανα πεπτωκότας, εὕρημα ἐποιησάμην, εἴ πως δυναίμην παρὰ βασιλέως αἰτήσασθαι δοῦναι ἐμοὶ ἀποσῶσαι ὑμᾶς εἰς τὴν Ἑλλάδα. Οἶμαι γὰρ οὐκ ἂν ἀχαριστίαν μοι εἶναι οὔτε πρὸς ὑμῶν οὔτε πρὸς τῆς πάσης Ἑλλάδος. Ταῦτα δὲ γνοὺς ᾐτούμην βασιλέα, λέγων αὐτῷ, ὅτι δικαίως ἄν μοι χαρίζοιτο, ὅτι αὐτῷ Κῦρόν τε ἐπιστρατεύοντα πρῶτος ἤγγειλα καὶ βοήθειαν ἔχων ἅμα τῇ ἀγγελίᾳ ἀφικόμην, καὶ μόνος τῶν κατὰ τοὺς Ἕλληνας τεταγμένων οὐκ ἔφυγον, ἀλλὰ διήλασα καὶ συνέμειξα βασιλεῖ ἐν τῷ ὑμετέρῳ στρατοπέδῳ. Καὶ περὶ μὲν τούτων ὑπέσχετό μοι βουλεύσεσθαι· ἐρέσθαι δέ με ὑμᾶς ἐκέλευεν ἐλθόντα, τίνος ἕνεκεν ἐστρατεύσατε ἐπ' αὐτόν. Καὶ συμβουλεύω ὑμῖν μετρίως ἀποκρίνασθαι, ἵνα μοι εὐπρακτότερον ᾖ, ἐάν τι δύνωμαι ἀγαθὸν ὑμῖν παρ' αὐτοῦ διαπράξασθαι ».

Μετὰ ταῦτα μεταστάντες οἱ Ἕλληνες ἐβουλεύοντο· καὶ § 21 - 23
ἀπεκρίναντο, Κλέαρχος δ' ἔλεγεν· « Ἡμεῖς οὔτε συνήλθομεν ὡς βασιλεῖ πολεμήσοντες οὔτε ἐπορευόμεθα ἐπὶ βασιλέα, ἀλλὰ πολλὰς προφάσεις Κῦρος ηὕρισκεν, ὡς καὶ σὺ εὖ οἶσθα, ἵνα ὑμᾶς τε ἀπαρασκεύους λάβοι καὶ ἡμᾶς ἐνθάδε ἀγάγοι. Ἐπεὶ μέντοι ἤδη αὐτὸν ἑωρῶμεν ἐν δεινῷ ὄντα, ᾐσχύνθημεν καὶ θεοὺς καὶ ἀνθρώπους προδοῦναι αὐτόν, ἐν τῷ πρόσθεν χρόνῳ παρέχοντες αὐτῷ ἡμᾶς αὐτοὺς εὖ ποιεῖν. Ἐπεὶ δὲ Κῦρος τέθνηκεν, οὔτε βασιλεῖ ἀντιποιούμεθα τῆς ἀρχῆς οὔτ' ἔστιν, ὅτου ἕνεκα βουλοίμεθα ἂν τὴν βασιλέως χώραν κακῶς ποιεῖν, οὐδ' αὐτὸν ἀποκτεῖναι ἂν ἐθέλοιμεν, πορευοίμεθα δ' ἂν οἴκαδε, εἴ τις ἡμᾶς μὴ λυποίη· ἀδικοῦντα μέντοι πειρασόμεθα σὺν τοῖς θεοῖς ἀμύνασθαι· ἐὰν μέντοι τις ἡμᾶς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ εὖ ποιῶν ὑπάρχῃ, καὶ τούτου εἵς γε δύναμιν οὐχ ἡττησόμεθα εὖ ποιοῦντες ».

§ 24 - 27 Ὁ μὲν οὕτως εἶπεν· ἀκούσας δὲ ὁ Τισσαφέρνης, « Ταῦτα », ἔφη, « ἐγὼ ἀπαγγελῶ βασιλεῖ καὶ ὑμῖν πάλιν τὰ παρ' ἐκείνου· μέχρι δ' ἂν ἐγὼ ἥκω, αἱ σπονδαὶ μενόντων· ἀγορὰν δὲ ἡμεῖς παρέξομεν ». Καὶ εἰς μὲν τὴν ὑστεραίαν οὐχ ἧκεν· ὥσθ' οἱ Ἕλληνες ἐφρόντιζον· τῇ δὲ τρίτῃ ἥκων ἔλεγεν, ὅτι διαπεπραγμένος ἥκοι παρὰ βασιλέως δοθῆναι αὐτῷ σῴζειν τοὺς Ἕλληνας, καίπερ πολλῶν ἀντιλεγόντων, ὡς οὐκ ἄξιον εἴη βασιλεῖ ἀφεῖναι τοὺς ἐφ' ἑαυτὸν στρατευσαμένους. Τέλος δὲ εἶπε· « Καὶ νῦν ἔξεστιν ὑμῖν πιστὰ λαβεῖν παρ' ἡμῶν ἦ μὴν φιλίαν παρέξειν ὑμῖν τὴν χώραν καὶ ἀδόλως ἀπάξειν εἰς τὴν Ἑλλάδα ἀγορὰν παρέχοντας· ὅπου δ' ἂν μὴ ἐξῇ πρίασθαι, λαμβάνειν ὑμᾶς ἐκ τῆς χώρας ἐάσομεν τὰ ἐπιτήδεια. Ὑμᾶς δὲ αὖ ἡμῖν δεήσει ὀμόσαι ἦ μὴν πορεύσεσθαι ὡς διὰ φιλίας ἀσινῶς σῖτα καὶ ποτὰ λαμβάνοντας, ὁπόταν μὴ ἀγορὰν παρέχωμεν· ἢν δὲ παρέχωμεν ἀγοράν, ὠνουμένους ἕξειν τὰ ἐπιτήδεια ».

§ 28 - 29 Ταῦτα ἔδοξε, καὶ ὤμοσαν καὶ δεξιὰς ἔδοσαν Τισσαφέρνης καὶ ὁ τῆς βασιλέως γυναικὸς ἀδελφὸς τοῖς τῶν Ἑλλήνων στρατηγοῖς καὶ λοχαγοῖς καὶ ἔλαβον παρὰ τῶν Ἑλλήνων. Μετὰ δὲ ταῦτα Τισσαφέρνης εἶπε· « Νῦν μὲν δὴ ἄπειμι ὡς βασιλέα· ἐπειδὰν δὲ διαπράξωμαι, ἃ δέομαι, ἥξω ὡς ἀπάξων ὑμᾶς εἰς τὴν Ἑλλάδα καὶ αὐτὸς ἀπιὼν ἐπὶ τὴν ἐμαυτοῦ ἀρχήν ».

*[ Οἱ Ἕλληνες καὶ ὁ Ἀριαῖος περιμένουν τὸν Τισσαφέρνην ἐστρατοπεδευμένοι πλησίον ἀλλήλων ἐπὶ 20 καὶ πλέον ἡμέρας· κατὰ τὸ διάστημα αὐτὸ ἔρχονται εἰς τὸν Ἀριαῖον οἱ ἀδελφοί του καὶ ἄλλοι συγγενεῖς καὶ φέρουν εἰς αὐτὸν καὶ εἰς τοὺς ἄλλους διαβεβαίωσιν ἐκ μέρους τοῦ βασιλέως, ὅτι οὗτος δὲν θὰ φανῇ μνησίκακος πρὸς αὐτοὺς διὰ τὴν ἐκστρατείαν των μετὰ τοῦ Κύρου.*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Μετὰ ταῦτα ὁ Ἀριαῖος καὶ οἱ ἄνθρωποί του φέρονται ψυχρῶς πρὸς τοὺς Ἕλληνας· ἕνεκα τούτου καὶ οἱ περισσότεροι ἐκ τῶν Ἑλλήνων ἦσαν μαζί των δυσηρεστημένοι καὶ προσερχόμενοι εἰς τὸν Κλέαρχον καὶ εἰς τοὺς ἄλλους στρατηγοὺς ἔλεγον, ὅτι εὐθὺς πρέπει ν' ἀναχωρήσουν, διότι εἶναι βέβαιοι, ὅτι ὁ βασιλεὺς μὲ κάθε τρόπον θὰ προσπαθήσῃ νὰ τοὺς καταστρέψῃ. Ὁ Κλέαρχος εἰς αὐτούς, ποὺ ἔλεγον αὐτά, ἀποκρίνεται, ὅτι δὲν εἶναι συμφέρον των νὰ διαλύσουν τὴν συνθήκην.*

*Ἐν τῷ μεταξὺ ἔρχεται ὁ Τισσαφέρνης καὶ ὁ Ὀρόντας, ὁ γαμβρὸς τοῦ βασιλέως, μαζὶ μὲ τοὺς στρατούς των καὶ ἐπαναλαμβάνεται ἡ πορεία. Ὁ Ἀριαῖος ἐπορεύετο μὲ τὸ βαρβαρικὸν στράτευμα τοῦ Κύρου μαζὶ μὲ τὸν Τισσαφέρνην καὶ τὸν Ὀρόνταν καὶ ἐστρατοπέδευε μαζὶ μὲ ἐκείνους· οἱ Ἕλληνες ὅμως, ἐπειδὴ ὑπώπτευον αὐτούς, ἐπορεύοντο μόνοι των καὶ ἐστρατοπέδευον μακράν των. Ἀφοῦ δὲ ἔφθασαν εἰς τὸ τεῖχος τῆς Μηδίας καὶ διῆλθον αὐτὸ καὶ δύο διώρυγας, ἔρχονται εἰς τὴν Σιττάκην, πόλιν μεγάλην πλησίον τοῦ Τίγρητος ποταμοῦ, παρὰ τὴν ὁποίαν καὶ ἐστρατοπέδευσαν, ἐνῷ οἱ βάρβαροι προηγηθέντες εἶχον διαβῆ τὸν ποταμόν. Ἀφοῦ δὲ διέβησαν ἔπειτα τοῦτον καὶ οἱ Ἕλληνες, φθάνουν εἰς τὴν πόλιν Ὦπιν.*

*Ἀπὸ τὴν Ὦπιν πορεύονται εἰς τὰς πλουσίας κώμας τῆς Παρυσάτιδος, τὰς ὁποίας ἐπέτρεψεν ὁ Τισσαφέρνης νὰ διαρπάσουν οἱ Ἕλληνες. Μετὰ ταῦτα ἔρχονται εἰς τὰς Καινάς, πόλιν πλουσίαν καὶ μεγάλην παρὰ τὸν Τίγρητα.]*

## 7. α) Συνέντευξις Κλεάρχου καὶ Τισσαφέρνους.
(**5**, 1-21, 24-26)

Μετὰ ταῦτα ἀφικνοῦνται ἐπὶ τὸν Ζαπάταν ποταμόν, § 1-2
τὸ εὖρος τεττάρων πλέθρων. Καὶ ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· ἐν δὲ ταύταις ὑποψίαι μὲν ἦσαν, φανερὰ δὲ οὐδεμία ἐφαίνετο ἐπιβουλή. Ἔδοξεν οὖν τῷ Κλεάρχῳ συγγενέσθαι τῷ Τισσαφέρνει, εἴ πως δύναιτο παῦσαι τὰς ὑποψίας, πρὶν ἐξ αὐτῶν πόλεμον γενέσθαι· καὶ ἔπεμψέ τινα ἐροῦντα, ὅτι συγγενέσθαι αὐτῷ χρῄζει. Ὁ δὲ ἑτοίμως ἐκέλευεν ἥκειν.

Ἐπειδὴ δὲ συνῆλθον, λέγει ὁ Κλέαρχος τάδε· «Ἐγώ, § 3-6



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὦ Τισσαφέρνη, οἶδα μὲν ἡμῖν ὅρκους γεγενημένους καὶ δεξιὰς δεδομένας μὴ ἀδικήσειν ἀλλήλους· φυλαττόμενον δὲ σέ τε ὁρῶ ὡς πολεμίους ἡμᾶς καὶ ἡμεῖς ὁρῶντες ταῦτα ἀντιφυλαττόμεθα. Ἐπεὶ δὲ σκοπῶν οὐ δύναμαι οὔτε σὲ αἰσθέσθαι πειρώμενον ἡμᾶς κακῶς ποιεῖν, ἐγώ τε σαφῶς οἶδα, ὅτι ἡμεῖς γε οὐδὲ ἐπινοοῦμεν τοιοῦτον οὐδέν, ἔδοξέ μοι εἰς λόγους σοι ἐλθεῖν, ὅπως, εἰ δυναίμεθα, ἐξέλοιμεν ἀλλήλων τὴν ἀπιστίαν. Καὶ γὰρ οἶδα ἤδη ἀνθρώπους, οἳ φοβηθέντες ἀλλήλους οἱ μὲν ἐκ διαβολῆς, οἱ δὲ καὶ ἐξ ὑποψίας, φθάσαι βουλόμενοι πρὶν παθεῖν ἐποίησαν ἀνήκεστα κακὰ τοὺς οὔτε μέλλοντας οὔτ' ἂν βουλομένους τοιοῦτον οὐδέν. Τὰς οὖν τοιαύτας ἀγνωμοσύνας νομίζων συνουσίαις μάλιστα ἂν παύεσθαι ἥκω καὶ διδάσκειν σε βούλομαι, ὡς σὺ ἡμῖν οὐκ ὀρθῶς ἀπιστεῖς.

§ 7 » Πρῶτον μὲν γὰρ καὶ μέγιστον οἱ θεῶν ἡμᾶς ὅρκοι κωλύουσι πολεμίους εἶναι ἀλλήλοις· ὅστις δὲ τούτων σύνοιδεν αὑτῷ παρημεληκώς, τοῦτον ἐγὼ οὔποτ' ἂν εὐδαιμονίσαιμι· τὸν γὰρ θεῶν πόλεμον οὐκ οἶδα οὔτ' ἀπὸ ποίου ἂν τάχους φεύγων τις ἀποφύγοι οὔτ' εἰς ποῖον ἂν σκότος ἀποδραίη οὔθ' ὅπως ἂν εἰς ἐχυρὸν χωρίον ἀποσταίη· πάντῃ γὰρ πάντα τοῖς θεοῖς ὑποχείρια καὶ πανταχῇ πάντων ἶσον οἱ θεοὶ κρατοῦσι.

§ 8 - 11 » Περὶ μὲν δὴ τῶν θεῶν τε καὶ τῶν ὅρκων οὕτω γιγνώσκω, παρ' οὓς ἡμεῖς τὴν φιλίαν συνθέμενοι κατεθέμεθα· τῶν δ' ἀνθρωπίνων σὲ ἐγὼ ἐν τῷ παρόντι νομίζω μέγιστον εἶναι ἡμῖν ἀγαθόν. Σὺν μὲν γὰρ σοὶ πᾶσα ὁδὸς εὔπορος, πᾶς δὲ ποταμὸς διαβατός, τῶν τε ἐπιτηδείων οὐκ ἀπορία· ἄνευ δὲ σοῦ πᾶσα μὲν διὰ σκότους ἡ ὁδός· οὐδὲν γὰρ αὐτῆς ἐπιστάμεθα· πᾶς δὲ ποταμὸς δύσπορος, πᾶς δὲ ὄχλος φοβερός, φοβερώτατον δ' ἐρημία· μεστὴ γὰρ πολλῆς ἀπορίας ἐστίν. Εἰ δὲ δὴ καὶ μανέντες σε κατακτείναιμεν, ἆρ' οὐκ ἄν, τὸν εὐεργέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

την κατακτείναντες, πρὸς βασιλέα τὸν μέγιστον ἔφεδρον ἀγωνιζοίμεθα ; Ὅσων δὲ δὴ καὶ οἵων ἂν ἐλπίδων ἐμαυτὸν στερήσαιμι, εἰ σέ τι κακὸν ἐπιχειρήσαιμι ποιεῖν, ταῦτα λέξω. Ἐγὼ γὰρ Κῦρον ἐπεθύμησά μοι φίλον γενέσθαι, νομίζων τῶν τότε ἱκανώτατον εἶναι εὖ ποιεῖν, ὃν βούλοιτο· σὲ δὲ νῦν ὁρῶ τήν τε Κύρου δύναμιν καὶ χώραν ἔχοντα καὶ τὴν σαυτοῦ σῴζοντα, τὴν δὲ βασιλέως δύναμιν, ᾗ Κῦρος πολεμίᾳ ἐχρῆτο, σοὶ ταύτην σύμμαχον οὖσαν. Τούτων δὲ τοιούτων ὄντων, τίς οὕτω μαίνεται, ὥστε μὴ βούλεσθαι σοὶ φίλος εἶναι ;

» Ἀλλὰ μὴν ἐρῶ καὶ ταῦτα, ἐξ ὧν ἔχω ἐλπίδας καὶ σὲ § 12 - 14
βουλήσεσθαι φίλον ἡμῖν εἶναι. Οἶδα μὲν γὰρ ὑμῖν Μυσοὺς λυπηροὺς ὄντας, οὓς νομίζω ἂν σὺν τῇ παρούσῃ δυνάμει ταπεινοὺς ὑμῖν παρασχεῖν· οἶδα δὲ καὶ Πισίδας· ἀκούω δὲ καὶ ἄλλα ἔθνη, πολλὰ τοιαῦτα εἶναι, ἃ οἶμαι ἂν παῦσαι ἐνοχλοῦντα ἀεὶ τῇ ὑμετέρᾳ εὐδαιμονίᾳ. Αἰγυπτίους δέ, οἷς μάλιστα ὑμᾶς νῦν οἶδα τεθυμωμένους, οὐχ ὁρῶ, ποίᾳ δυνάμει συμμάχῳ χρησάμενοι μᾶλλον ἂν κολάσαισθε ἢ τῇ νῦν σὺν ἐμοὶ οὔσῃ. Ἀλλὰ μὴν ἔν γε τοῖς πέριξ οἰκοῦσι σύ, εἰ μὲν βούλοιό τῳ φίλος εἶναι, μέγιστος ἂν εἴης, εἰ δὲ τίς σε λυποίη, ὡς δεσπότης ἂν ἀναστρέφοιο, ἔχων ἡμᾶς ὑπηρέτας, οἵ σοι οὐκ ἂν τοῦ μισθοῦ ἕνεκα μόνον ὑπηρετοῖμεν, ἀλλὰ καὶ τῆς χάριτος, ἣν σωθέντες ὑπὸ σοῦ σοὶ ἂν ἔχοιμεν δικαίως.

» Ἐμοὶ μὲν ταῦτα πάντα ἐνθυμουμένῳ οὕτω δοκεῖ θαυ- § 15
μαστὸν εἶναι τὸ σὲ ἡμῖν ἀπιστεῖν, ὥστε καὶ ἥδιστ᾽ ἂν ἀκούσαιμι, τίς οὕτως ἐστὶ δεινὸς λέγειν, ὥστε σε πεῖσαι λέγων, ὡς ἡμεῖς σοι ἐπιβουλεύομεν ».

Κλέαρχος μὲν οὖν τοσαῦτα εἶπε· Τισσαφέρνης δὲ ὧδε § 16 - 19
ἀπεκρίνατο· « Ἀλλ᾽ ἥδομαι μέν, ὦ Κλέαρχε, ἀκούων σου φρονίμους λόγους· ταῦτα γὰρ γιγνώσκων, εἴ τι ἐμοὶ κακὸν βουλεύοις, ἅμα ἄν μοι δοκεῖς καὶ σαυτῷ κακόνους εἶναι. Ἵνα δὲ μάθῃς, ὅτι οὐδ᾽ ἂν ὑμεῖς δικαίως οὔτε βασιλεῖ οὔτ᾽ ἐμοὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀπιστοῖτε, ἀντάκουσον. Εἰ γὰρ ὑμᾶς ἐβουλόμεθα ἀπολέσαι, ἆρα δοκοῦμέν σοι ἱππέων πλήθους ἀπορεῖν ἢ πεζῶν ἢ ὁπλίσεως, ἐν οἷς ὑμᾶς μὲν βλάπτειν ἱκανοὶ εἶμεν ἄν, ἀντιπάσχειν δὲ οὐδεὶς κίνδυνος ; Ἀλλὰ χωρίων ἐπιτηδείων ὑμῖν ἐπιτίθεσθαι ἀπορεῖν ἄν σοι δοκοῦμεν ; Οὐ τοσαῦτα μὲν πεδία, ἃ ὑμεῖς φίλια ὄντα σὺν πολλῷ πόνῳ διαπορεύεσθε, τοσαῦτα δὲ ὄρη ὁρᾶτε, ἃ ἡμῖν ἔξεστι προκαταλαβοῦσιν ἄπορα ὑμῖν παρέχειν, τοσοῦτοι δ' εἰσὶ ποταμοί, ἐφ' ὧν ἔξεστιν ἡμῖν ταμιεύεσθαι, ὁπόσοις ἂν ὑμῶν βουλώμεθα μάχεσθαι ; Ἐνίους δ' αὐτῶν οὐδ' ἂν παντάπασι διαβαῖτε, εἰ μὴ ἡμεῖς ὑμᾶς διαπορεύοιμεν. Εἰ δ' ἐν πᾶσι τούτοις ἡττῴμεθα, ἀλλὰ τό γέ τοι πῦρ κρεῖττον τοῦ καρποῦ ἐστιν· ὃν ἡμεῖς δυναίμεθ' ἂν κατακαύσαντες λιμὸν ὑμῖν ἀντιτάξαι, ᾧ ὑμεῖς οὐδ' εἰ πάνυ ἀγαθοὶ εἶτε μάχεσθαι ἂν δύναισθε.

§ 20 - 21 » Πῶς ἂν οὖν ἔχοντες τοσούτους πόρους πρὸς τὸ ὑμῖν πολεμεῖν, καὶ τούτων μηδένα ἡμῖν ἐπικίνδυνον, ἔπειτα ἐκ τούτων πάντων τοῦτον ἂν τὸν τρόπον ἐξελοίμεθα, ὃς μόνος μὲν πρὸς θεῶν ἀσεβής, μόνος δὲ πρὸς ἀνθρώπων αἰσχρός; Παντάπασι δὲ ἀπόρων ἐστὶ καὶ ἀμηχάνων καὶ ἐν ἀνάγκῃ ἐχομένων, καὶ τούτων πονηρῶν, οἵτινες ἐθέλουσι δι' ἐπιορκίας τε πρὸς θεοὺς καὶ ἀπιστίας πρὸς ἀνθρώπους πράττειν τι. Οὐχ οὕτω ἡμεῖς, ὦ Κλέαρχε, οὔτε ἀλόγιστοι οὔτε ἠλίθιοί ἐσμεν ».

§ 24 - 26 Ταῦτα εἰπὼν ἔδοξε τῷ Κλεάρχῳ ἀληθῆ λέγειν· καὶ εἶπεν· « Οὐκοῦν οἵτινες, τοιούτων ἡμῖν εἰς φιλίαν ὑπαρχόντων, πειρῶνται διαβάλλοντες ποιῆσαι πολεμίους ἡμᾶς, ἄξιοί εἰσι τὰ ἔσχατα παθεῖν ; » « Καὶ ἐγὼ μέν γε », ἔφη ὁ Τισσαφέρνης, « εἰ βούλεσθέ μοι οἵ τε στρατηγοὶ καὶ οἱ λοχαγοὶ ἐλθεῖν, ἐν τῷ ἐμφανεῖ λέξω τοὺς πρὸς ἐμὲ λέγοντας, ὡς σὺ ἐμοὶ ἐπιβουλεύεις καὶ τῇ σὺν ἐμοὶ στρατιᾷ ». « Ἐγὼ δέ », ἔφη ὁ Κλέαρχος, « ἄξω πάντας, καὶ σοὶ αὖ δηλώσω, ὅθεν ἐγὼ περὶ σοῦ ἀκούω ». Ἐκ τούτων δὴ τῶν λόγων ὁ Τισσαφέρνης φιλοφρο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νούμενος τότε μὲν μένειν τε αὐτὸν ἐκέλευε καὶ σύνδειπνον ἐποιήσατο.

**β ) Προσέλευσις εἰς τὴν σκηνὴν τοῦ Τισσαφέρνους πέντε στρατηγῶν καὶ εἴκοσι λοχαγῶν. Σύλληψις καὶ θανάτωσις αὐτῶν.**

( 5, 27 - 42 )

Τῇ δὲ ὑστεραίᾳ ὁ Κλέαρχος ἐλθὼν ἐπὶ τὸ στρατόπεδον § 27 - 30
δῆλός τ' ἦν πάνυ φιλικῶς οἰόμενος διακεῖσθαι αὐτῷ Τισσαφέρνην, καί, ἃ ἔλεγεν ἐκεῖνος, ἀπήγγελλεν, ἔφη τε χρῆναι ἰέναι παρὰ Τισσαφέρνην, οὓς ἐκέλευε, καί, οἳ ἂν ἐλεγχθῶσι διαβάλλοντες τῶν Ἑλλήνων, ὡς προδότας τούτους καὶ κακόνους τοῖς Ἕλλησιν ὄντας τιμωρηθῆναι. Ὑπώπτευε δὲ εἶναι τὸν διαβάλλοντα Μένωνα, εἰδὼς αὐτὸν καὶ λάθρᾳ συγγεγενημένον Τισσαφέρνει μετ' Ἀριαίου καὶ στασιάζοντα αὐτῷ καὶ ἐπιβουλεύοντα, ὅπως τὸ στράτευμα ἅπαν πρὸς αὐτὸν λαβὼν φίλος ᾖ Τισσαφέρνει. Ἐβούλετο δὲ καὶ ὁ Κλέαρχος ἅπαν τὸ στράτευμα πρὸς ἑαυτὸν ἔχειν τὴν γνώμην καὶ τοὺς παραλυποῦντας ἐκποδὼν εἶναι. Τῶν δὲ στρατιωτῶν ἀντέλεγόν τινες αὐτῷ μὴ ἰέναι πάντας τοὺς λοχαγοὺς καὶ στρατηγοὺς μηδὲ πιστεύειν Τισσαφέρνει. Ὁ δὲ Κλέαρχος ἰσχυρῶς κατέτεινεν, ἕως διεπράξατο πέντε μὲν στρατηγοὺς ἰέναι, εἴκοσι δὲ λοχαγούς· συνηκολούθησαν δὲ ὡς εἰς ἀγορὰν καὶ τῶν ἄλλων στρατιωτῶν ὡς διακόσιοι.

Ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς θύραις ταῖς Τισσαφέρνους, οἱ § 31 - 34
μὲν στρατηγοὶ παρεκλήθησαν εἴσω, Πρόξενος Βοιώτιος, Μένων Θετταλός, Ἀγίας Ἀρκάς, Κλέαρχος Λάκων, Σωκράτης Ἀχαιός, οἱ δὲ λοχαγοὶ ἐπὶ ταῖς θύραις ἔμενον. Οὐ πολλῷ δ' ὕστερον ἀπὸ τοῦ αὐτοῦ σημείου οἵ τ' ἔνδον συνελαμβάνοντο καὶ οἱ ἔξω κατεκόπησαν. Μετὰ δὲ ταῦτα τῶν βαρβάρων τινὲς ἱππέων διὰ τοῦ πεδίου ἐλαύνοντες, ᾧτινι ἐντυγχάνοιεν Ἕλ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ληνι ἢ δούλῳ ἢ ἐλευθέρῳ, πάντας ἔκτεινον. Οἱ δὲ Ἕλληνες τήν τε ἱππασίαν ἐθαύμαζον ἐκ τοῦ στρατοπέδου ὁρῶντες καί, ὅ,τι ἐποίουν, ἠμφεγνόουν, πρὶν Νίκαρχος Ἀρκὰς ἧκε φεύγων τετρωμένος εἰς τὴν γαστέρα, καὶ εἶπε πάντα τὰ γεγενημένα. Ἐκ τούτου δὴ οἱ Ἕλληνες ἔθεον ἐπὶ τὰ ὅπλα πάντες, ἐκπεπληγμένοι καὶ νομίζοντες αὐτίκα ἥξειν αὐτοὺς ἐπὶ τὸ στρατόπεδον.

§ 35 - 37 Οἱ δὲ πάντες μὲν οὐκ ἦλθον, Ἀριαῖος δὲ καὶ Ἀρτάοζος καὶ Μιθραδάτης, οἳ ἦσαν Κύρῳ πιστότατοι· ὁ δὲ τῶν Ἑλλήνων ἑρμηνεὺς ἔφη καὶ τὸν Τισσαφέρνους ἀδελφὸν σὺν αὐτοῖς ὁρᾶν καὶ γιγνώσκειν· συνηκολούθουν δὲ καὶ ἄλλοι Περσῶν τεθωρακισμένοι εἰς τριακοσίους. Οὗτοι, ἐπεὶ ἐγγὺς ἦσαν, προσελθεῖν ἐκέλευον, εἴ τις εἴη τῶν Ἑλλήνων στρατηγὸς ἢ λοχαγός, ἵνα ἀπαγγείλωσι τὰ παρὰ βασιλέως. Μετὰ ταῦτα ἐξῆλθον φυλαττόμενοι τῶν Ἑλλήνων στρατηγοὶ μὲν Κλεάνωρ Ὀρχομένιος καὶ Σοφαίνετος Στυμφάλιος, σὺν αὐτοῖς δὲ Ξενοφῶν Ἀθηναῖος, ὅπως μάθοι τὰ περὶ Προξένου· Χειρίσοφος δὲ ἐτύγχανεν ἀπὼν ἐν κώμῃ τινὶ σὺν ἄλλοις ἐπισιτιζόμενος.

§ 38 Ἐπειδὴ δὲ ἔστησαν εἰς ἐπήκοον, εἶπεν Ἀριαῖος τάδε· « Κλέαρχος μέν, ὦ ἄνδρες Ἕλληνες, ἐπεὶ ἐπιορκῶν τε ἐφάνη καὶ τὰς σπονδὰς λύων, ἔχει τὴν δίκην καὶ τέθνηκε, Πρόξενος δὲ καὶ Μένων, ὅτι κατήγγειλαν αὐτοῦ τὴν ἐπιβουλήν, ἐν μεγάλῃ τιμῇ εἰσιν. Ὑμᾶς δὲ βασιλεὺς τὰ ὅπλα ἀπαιτεῖ· ἑαυτοῦ γὰρ εἶναί φησιν, ἐπείπερ Κύρου ἦσαν τοῦ ἐκείνου δούλου ».

§ 39 - 42 Πρὸς ταῦτα ἀπεκρίναντο οἱ Ἕλληνες, ἔλεγε δὲ Κλεάνωρ ὁ Ὀρχομένιος· « Ὦ κάκιστε ἀνθρώπων Ἀριαῖε καὶ οἱ ἄλλοι, ὅσοι ἦτε Κύρου φίλοι, οὐκ αἰσχύνεσθε οὔτε θεοὺς οὔτ' ἀνθρώπους, οἵτινες ὀμόσαντες ἡμῖν τοὺς αὐτοὺς φίλους καὶ ἐχθροὺς νομιεῖν, προδόντες ἡμᾶς σὺν Τισσαφέρνει τῷ ἀθεωτάτῳ τε καὶ πανουργοτάτῳ τούς τε ἄνδρας αὐτούς, οἷς ὤμνυ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τε, ἀπολωλέκατε καὶ τοὺς ἄλλους ἡμᾶς προδεδωκότες σὺν τοῖς πολεμίοις ἐφ' ἡμᾶς ἔρχεσθε ; » Ὁ δὲ Ἀριαῖος εἶπε· « Κλέαρχος πρόσθεν ἐπιβουλεύων φανερὸς ἐγένετο Τισσαφέρνει τε καὶ Ὀρόντᾳ καὶ πᾶσιν ἡμῖν τοῖς σὺν τούτοις ». Μετὰ ταῦτα Ξενοφῶν τάδε εἶπε· « Κλέαρχος μὲν τοίνυν, εἰ παρὰ τοὺς ὅρκους ἔλυε τὰς σπονδάς, τὴν δίκην ἔχει· δίκαιον γὰρ ἀπόλλυσθαι τοὺς ἐπιορκοῦντας· Πρόξενος δὲ καὶ Μένων ἐπείπερ εἰσὶν ὑμέτεροι μὲν εὐεργέται, ἡμέτεροι δὲ στρατηγοί, πέμψατε αὐτοὺς δεῦρο· δῆλον γάρ, ὅτι φίλοι γε ὄντες ἀμφοτέροις πειράσονται καὶ ὑμῖν καὶ ἡμῖν τὰ βέλτιστα συμβουλεῦσαι ». Πρὸς ταῦτα οἱ βάρβαροι πολὺν χρόνον διαλεχθέντες ἀλλήλοις ἀπῆλθον οὐδὲν ἀποκρινάμενοι.

*[ Χαρακτηρισμὸς τῶν δολοφονηθέντων στρατηγῶν :*

*Ὁ Κλέαρχος ὑπῆρξεν ἐμπειροπόλεμος καὶ φιλοπόλεμος. Ἐπεζήτει τοὺς πολέμους, καὶ ὅτε ἀκόμη ἦτο δυνατὸν καὶ ὤφειλε νὰ ζῇ ἐν εἰρήνῃ· ὄχι μόνον δὲν ἀπέφευγε τοὺς κινδύνους, ἀλλὰ καὶ μετὰ θάρρους ἐρρίπτετο εἰς αὐτούς. Ἦτο τραχὺς καὶ αὐστηρὸς εἰς τοὺς στρατιώτας του. Ἔλεγεν, ὅτι ὁ στρατιώτης πρέπει νὰ φοβῆται περισσότερον τὸν ἀρχηγόν του, παρὰ τοὺς ἐχθρούς. Δι' αὐτὸ καὶ ὀλίγον τὸν ἠγάπων οἱ στρατιῶται· εἰς τὰς δυσκόλους ὅμως περιστάσεις πάντες ἀπέβλεπον πρὸς αὐτόν. Ἦτο περίπου πεντήκοντα ἐτῶν, ὅτε ἀπέθανεν.*

*Ὁ Πρόξενος ὁ Βοιώτιος ἦτο πεπαιδευμένος καὶ φιλόδοξος. Δὲν ἤθελε τὸ καθετὶ ν' ἀποκτήσῃ ἀδίκως, ἀλλ' ἐνόμιζεν, ὅτι ἔπρεπε νὰ ἐπιτύχῃ τοῦτο μὲ δικαιοσύνην καὶ τιμιότητα. Νὰ ἄρχῃ χρηστῶν καὶ τιμίων ἀνθρώπων εἶχε τὴν δύναμιν· δὲν ἦτο ὅμως ἱκανὸς οὔτε σεβασμὸν οὔτε φόβον νὰ ἐμπνεύσῃ. Ἀπεναντίας ἐντρέπετο περισσότερον αὐτὸς τοὺς στρατιώτας του παρὰ οἱ στρατιῶταί του αὐτόν. Οἱ χρηστοὶ καὶ τίμιοι τὸν ἠγάπων, ἀλλ' οἱ κακοὶ τὸν ἐξεμεταλλεύοντο. Ἦτο περίπου τριάκοντα ἐτῶν, ὅτε ἀπέθανεν.*

*Ὁ Μένων ὁ Θεσσαλὸς ἦτο φίλαρχος καὶ φιλόδοξος. Ἐπεζήτει τὴν ὑπεροχὴν διὰ τοῦ ψεύδους, τῆς ἐπιορκίας, τῆς ἀπάτης καὶ τῆς διαβολῆς. Συνεκράτει τοὺς στρατιώτας του ἐπιτρέπων εἰς αὐτοὺς νὰ διαπράττουν κάθε ἀδικίαν. Δὲν ἐθανατώθη ὅπως οἱ ἄλλοι στρατηγοὶ δι'*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*ἀποκεφαλισμοῦ, ὁ ὁποῖος θεωρεῖται τάχιστος θάνατος, ἀλλ' ὡς κακὸς ἄνθρωπος ἐβασανίσθη ὁλόκληρον ἔτος καὶ ἔτσι εὗρε τὸ τέλος τῆς ζωῆς του.*

*Ὁ Ἀγίας ὁ Ἀρκὰς καὶ ὁ Σωκράτης ὁ Ἀχαιὸς ὑπῆρξαν καλοὶ στρατηγοὶ καὶ καλοὶ φίλοι. Ἦσαν καὶ οἱ δύο περίπου τριάκοντα πέντε ἐτῶν, ὅτε ἀπέθανον.]*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

## ΑΠΟ ΤΟΝ ΖΑΠΑΤΑΝ ΠΟΤΑΜΟΝ
## ΕΩΣ ΤΑ ΟΡΙΑ ΤΗΣ ΧΩΡΑΣ ΤΩΝ ΚΑΡΔΟΥΧΩΝ

**( Ὀκτώβριος - Νοέμβριος τοῦ 401 π. Χ. )**

### 8. α ) Ἀθυμία τῶν Ἑλλήνων. Ἐνθάρρυνσις τῶν λοχαγῶν τοῦ Προξένου ὑπὸ τοῦ Ξενοφῶντος.

( **1**, 2 - 25 )

Ἐπεὶ δὲ οἱ στρατηγοὶ συνειλημμένοι ἦσαν καὶ τῶν λοχαγῶν καὶ τῶν στρατιωτῶν οἱ συνεπισπόμενοι ἀπωλώλεσαν, ἐν πολλῇ δὴ ἀπορίᾳ ἦσαν οἱ Ἕλληνες ἐννοούμενοι, ὅτι ἐπὶ ταῖς βασιλέως θύραις ἦσαν, κύκλῳ δὲ αὐτοῖς πάντῃ πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι ἦσαν, ἀγορὰν δὲ οὐδεὶς ἔτι παρέξειν ἔμελλεν, ἀπεῖχον δὲ τῆς Ἑλλάδος οὐ μεῖον ἢ μύρια στάδια, ἡγεμὼν δ' οὐδεὶς τῆς ὁδοῦ ἦν, ποταμοὶ δὲ διεῖργον ἀδιάβατοι ἐν μέσῳ τῆς οἴκαδε ὁδοῦ, προυδεδώκεσαν δὲ αὐτοὺς καὶ οἱ σὺν Κύρῳ ἀναβάντες βάρβαροι, μόνοι δὲ καταλελειμμένοι ἦσαν οὐδὲ ἱππέα οὐδένα σύμμαχον ἔχοντες, ὥστε εὔδηλον ἦν, ὅτι νικῶντες μὲν οὐδένα ἂν κατακάνοιεν, ἡττηθέντων δὲ αὐτῶν οὐδεὶς ἂν λειφθείη. § 2

Ταῦτ' ἐννοούμενοι καὶ ἀθύμως ἔχοντες ὀλίγοι μὲν αὐτῶν εἰς τὴν ἑσπέραν σίτου ἐγεύσαντο, ὀλίγοι δὲ πῦρ ἀνέκαυσαν, ἐπὶ δὲ τὰ ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτην τὴν νύκτα, ἀνεπαύοντο δέ, ὅπου ἐτύγχανεν ἕκαστος, οὐ δυνάμενοι καθεύδειν ὑπὸ λύπης καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων, § 3

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὓς οὔποτ' ἐνόμιζον ἔτι ὄψεσθαι. Οὕτω μὲν δὴ διακείμενοι πάντες ἀνεπαύοντο.

§ 4-5 Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος, ὃς οὔτε στρατηγὸς οὔτε λοχαγὸς οὔτε στρατιώτης ὢν συνηκολούθει, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν ξένος ὢν ἀρχαῖος· ὑπισχνεῖτο δὲ αὐτῷ, εἰ ἔλθοι, φίλον αὐτὸν Κύρῳ ποιήσειν, ὃν αὐτὸς ἔφη κρείττω ἑαυτῷ νομίζειν τῆς πατρίδος. Ὁ μέντοι Ξενοφῶν ἀναγνοὺς τὴν ἐπιστολὴν ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ περὶ τῆς πορείας. Καὶ ὁ Σωκράτης ὑποπτεύσας, μή τι πρὸς τῆς πόλεως ὑπαίτιον εἴη τὸ Κύρῳ φίλον γενέσθαι, ὅτι ἐδόκει ὁ Κῦρος προθύμως τοῖς Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθήνας συμπολεμῆσαι, συμβουλεύει τῷ Ξενοφῶντι ἐλθόντα εἰς Δελφοὺς ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας.

§ 6-7 Ἐλθὼν δ' ὁ Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω, τίνι ἂν θεῶν θύων καὶ εὐχόμενος κάλλιστα καὶ ἄριστα ἔλθοι τὴν ὁδόν, ἣν ἐπινοεῖ, καὶ καλῶς πράξας σωθείη. Καὶ ἀνεῖλεν αὐτῷ ὁ Ἀπόλλων θεοῖς, οἷς ἔδει θύειν. Ἐπεὶ δὲ πάλιν ἦλθε, λέγει τὴν μαντείαν τῷ Σωκράτει. Ὁ δ' ἀκούσας ᾐτιᾶτο αὐτόν, ὅτι οὐ τοῦτο πρῶτον ἠρώτα, πότερον λῷον εἴη αὐτῷ πορεύεσθαι ἢ μένειν, ἀλλ' αὐτὸς κρίνας ἰτέον εἶναι τοῦτ' ἐπυνθάνετο, ὅπως ἂν κάλλιστα πορευθείη. « Ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ' », ἔφη, « χρὴ ποιεῖν, ὅσα ὁ θεὸς ἐκέλευσεν ».

§ 8-10 Ὁ μὲν δὴ Ξενοφῶν οὕτω θυσάμενος, οἷς ἀνεῖλεν ὁ θεός, ἐξέπλει, καὶ καταλαμβάνει ἐν Σάρδεσι Πρόξενον καὶ Κῦρον μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω ὁδόν, καὶ συνεστάθη Κύρῳ. Προθυμουμένου δὲ τοῦ Προξένου μεῖναι αὐτὸν καὶ ὁ Κῦρος συμπρουθυμεῖτο, εἶπε δέ, ὅτι, ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψει αὐτόν. Ἐλέγετο δὲ ὁ στόλος εἶναι εἰς Πισίδας. Ἐστρατεύετο μὲν δὴ οὕτως ἐξαπατηθεὶς — οὐχ ὑπὸ Προξένου· οὐ γὰρ ᾔδει τὴν ἐπὶ βασιλέα ὁρμὴν οὐδὲ ἄλλος οὐδεὶς τῶν Ἑλλήνων πλὴν Κλεάρχου· ἐπεὶ μέντοι εἰς Κι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λικίαν ἦλθον, σαφὲς πᾶσιν ἤδη ἐδόκει εἶναι, ὅτι ὁ στόλος εἴη ἐπὶ βασιλέα. Φοβούμενοι δὲ τὴν ὁδὸν καὶ ἄκοντες ὅμως οἱ πολλοὶ δι' αἰσχύνην καὶ ἀλλήλων καὶ Κύρου συνηκολούθησαν· ὧν εἷς καὶ Ξενοφῶν ἦν.

Ἐπεὶ δὲ ἀπορία ἦν, ἐλυπεῖτο μὲν σὺν τοῖς ἄλλοις καὶ § 11 - 12
οὐκ ἐδύνατο καθεύδειν· μικρὸν δ' ὕπνου λαχὼν εἶδεν ὄναρ. Ἔδοξεν αὐτῷ, βροντῆς γενομένης, σκηπτὸς πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσα. Περίφοβος δ' εὐθὺς ἀνηγέρθη, καὶ τὸ ὄναρ τῇ μὲν ἔκρινεν ἀγαθόν, ὅτι ἐν πόνοις ὢν καὶ κινδύνοις φῶς μέγα ἐκ Διὸς ἰδεῖν ἔδοξε· τῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι ἀπὸ Διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι, κύκλῳ δὲ ἐδόκει λάμπεσθαι τὸ πῦρ, μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ' εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν.

Ὁποῖόν τι μὲν δή ἐστι τοιοῦτον ὄναρ ἰδεῖν, ἔξεστι § 13 - 14
σκοπεῖν ἐκ τῶν συμβάντων μετὰ τὸ ὄναρ. Γίγνεται γὰρ τάδε. Εὐθὺς ἐπειδὴ ἀνηγέρθη, πρῶτον μὲν ἔννοια αὐτῷ ἐμπίπτει· « τί κατάκειμαι ; ἡ νὺξ προβαίνει· ἅμα δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς πολεμίους ἥξειν. Εἰ δὲ γενησόμεθα ἐπὶ βασιλεῖ, τί ἐμποδὼν πάντα μὲν τὰ χαλεπώτατα ἐπιδόντας, πάντα δὲ τὰ δεινότατα παθόντας μὴ οὐχὶ ὑβριζομένους ἀποθανεῖν ; Ὅπως δ' ἀμυνούμεθα, οὐδεὶς παρασκευάζεται οὐδὲ ἐπιμελεῖται, ἀλλὰ κατακείμεθα, ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν. Ἐγὼ οὖν τὸν ἐκ ποίας πόλεως στρατηγὸν προσδοκῶ ταῦτα πράξειν; Ποίαν δ' ἡλικίαν ἐμαυτῷ ἐλθεῖν ἀναμένω ; Οὐ γὰρ ἔγωγ' ἔτι πρεσβύτερος ἔσομαι, ἐὰν σήμερον προδῶ ἐμαυτὸν τοῖς πολεμίοις ».

Ἐκ τούτου ἀνίσταται καὶ συγκαλεῖ τοὺς Προξένου πρῶ- § 15 - 18
τον λοχαγούς. Ἐπεὶ δὲ συνῆλθον, ἔλεξεν· « Ἐγώ, ὦ ἄνδρες λοχαγοί, οὔτε καθεύδειν δύναμαι, ὥσπερ, οἶμαι, οὐδ' ὑμεῖς, οὔτε κατακεῖσθαι ἔτι, ὁρῶν ἐν οἵοις πράγμασίν ἐσμεν. Οἱ μὲν γὰρ πολέμιοι δῆλον ὅτι οὐ πρότερον πρὸς ἡμᾶς τὸν πό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λεμον ἐξέφηναν, πρὶν ἐνόμισαν καλῶς τὰ ἑαυτῶν παρασκευάσασθαι, ἡμῶν δ' οὐδεὶς οὐδὲν ἀντεπιμελεῖται, ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα. Καὶ μὴν εἰ ὑφησόμεθα καὶ ἐπὶ βασιλεῖ γενησόμεθα, τί οἰόμεθα πείσεσθαι; ὃς καὶ τοῦ ὁμομητρίου ἀδελφοῦ, καὶ τεθνηκότος ἤδη, ἀποτεμὼν τὴν κεφαλὴν καὶ τὴν χεῖρα ἀνεσταύρωσεν· ἡμεῖς δέ, οἷ κηδεμόνα μὲν οὐδένα ἔχομεν, ἐστρατεύσαμεν δὲ ἐπ' αὐτὸν ὡς δοῦλον ἀντὶ βασιλέως ποιήσοντες καὶ ἀποκτενοῦντες, εἰ δυναίμεθα, τί ἂν οἰόμεθα παθεῖν; Ἆρ' οὐκ ἂν ἐπὶ πᾶν ἔλθοι, ὡς ἡμᾶς τὰ ἔσχατα αἰκισάμενος πᾶσιν ἀνθρώποις φόβον παράσχοι τοῦ στρατεῦσαί ποτε ἐπ' αὐτόν; Ἀλλ' ὅπως τοι μὴ ἐπ' ἐκείνῳ γενησόμεθα, πάντα ποιητέον.

§ 19 - 20 » Ἐγὼ μὲν οὖν, ἕως μὲν αἱ σπονδαὶ ἦσαν, οὔποτε ἐπαυόμην ἡμᾶς μὲν οἰκτίρων, βασιλέα δὲ καὶ τοὺς σὺν αὐτῷ μακαρίζων, διαθεώμενος αὐτῶν, ὅσην μὲν χώραν καὶ οἵαν ἔχοιεν, ὡς δὲ ἄφθονα τὰ ἐπιτήδεια, ὅσους δὲ θεράποντας, ὅσα δὲ κτήνη, ὅσον δὲ χρυσόν, ὅσην δὲ ἐσθῆτα· τὰ δ' αὖ τῶν στρατιωτῶν ὁπότε ἐνθυμοίμην, ὅτι τῶν μὲν ἀγαθῶν τούτων οὐδενὸς μετέχοιμεν, εἰ μὴ πριαίμεθα, χρήματα δέ, ὧν ὠνησόμεθα, ᾔδειν ἔτι ὀλίγους ἔχοντας, ἄλλως δέ πως πορίζεσθαι τὰ ἐπιτήδεια ἢ ὠνουμένους ὅρκους ᾔδειν κωλύοντας ἡμᾶς· ταῦτ' οὖν λογιζόμενος τὰς σπονδὰς μᾶλλον ἐφοβούμην ἢ νῦν τὸν πόλεμον.

§ 21 - 23 » Ἐπεὶ μέντοι ἐκεῖνοι ἔλυσαν τὰς σπονδάς, λελύσθαι μοι δοκεῖ καὶ ἡ ἐκείνων ὕβρις καὶ ἡ ἡμετέρα ἀσάφεια. Ἐν μέσῳ γὰρ ἤδη κεῖται ταῦτα τὰ ἀγαθὰ ἆθλα, ὁπότεροι ἂν ἡμῶν ἄνδρες ἀμείνονες ὦσιν, ἀγωνοθέται δ' οἱ θεοί εἰσιν, οἳ σὺν ἡμῖν, ὡς εἰκός, ἔσονται. Οὗτοι μὲν γὰρ αὐτοὺς ἐπιωρκήκασιν· ἡμεῖς δὲ πολλὰ ὁρῶντες ἀγαθὰ στερρῶς αὐτῶν ἀπειχόμεθα διὰ τοὺς τῶν θεῶν ὅρκους· ὥστε ἐξεῖναί μοι δοκεῖ ἰέναι ἐπὶ τὸν ἀγῶνα πολὺ σὺν φρονήματι μείζονι ἢ τούτοις. Ἔτι δ'

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔχομεν σώματα ἱκανώτερα τούτων καὶ ψυχὴ καὶ θάλπη καὶ πόνους φέρειν· ἔχομεν δὲ καὶ ψυχὰς σὺν τοῖς θεοῖς ἀμείνονας· οἱ δὲ ἄνδρες καὶ τρωτοὶ καὶ θνητοὶ μᾶλλον ἡμῶν, ἢν οἱ θεοὶ ὥσπερ τὸ πρόσθεν νίκην ἡμῖν διδῶσιν.

» Ἀλλ' ἴσως γὰρ καὶ ἄλλοι ταὐτὰ ἐνθυμοῦνται, πρὸς τῶν § 24 - 25
θεῶν μὴ ἀναμένωμεν ἄλλους ἐφ' ἡμᾶς ἐλθεῖν παρακαλοῦντας ἐπὶ τὰ κάλλιστα ἔργα, ἀλλ' ἡμεῖς ἄρξωμεν τοῦ ἐξορμῆσαι καὶ τοὺς ἄλλους ἐπὶ τὴν ἀρετήν· φάνητε τῶν λοχαγῶν ἄριστοι καὶ τῶν στρατηγῶν ἀξιοστρατηγότεροι. Κἀγὼ δέ, εἰ μὲν ὑμεῖς ἐθέλετε ἐξορμᾶν ἐπὶ ταῦτα, ἕπεσθαι ὑμῖν βούλομαι, εἰ δ' ὑμεῖς τάττετέ με ἡγεῖσθαι, οὐδὲν προφασίζομαι τὴν ἡλικίαν, ἀλλὰ καὶ ἀκμάζειν ἡγοῦμαι ἀποτρέπειν ἀπ' ἐμαυτοῦ τὰ κακά ».

## β ) Συνέλευσις τῶν διασωθέντων στρατηγῶν καὶ λοχαγῶν τῶν Ἑλλήνων. Λόγος τοῦ Ξενοφῶντος καὶ ἐκλογὴ νέων στρατηγῶν.

( **1**, 32 - 47 )

Ὁ μὲν ταῦτ' ἔλεξεν, οἱ δὲ λοχαγοὶ ἀκούσαντες ἡγεῖσθαι § 32
ἐκέλευον πάντες. Παρὰ δὲ τὰς τάξεις ἰόντες, ὅπου μὲν στρατηγὸς σῶος εἴη, τὸν στρατηγὸν παρεκάλουν, ὁπόθεν δὲ οἴχοιτο, τὸν ὑποστράτηγον, ὅπου δ' αὖ λοχαγὸς σῶος εἴη, τὸν λοχαγόν.

Ἐπεὶ δὲ πάντες συνῆλθον, εἰς τὸ πρόσθεν τῶν ὅπλων § 33 - 34
ἐκαθέζοντο· καὶ ἐγένοντο οἱ συνελθόντες στρατηγοὶ καὶ λοχαγοὶ ἀμφὶ τοὺς ἑκατόν. Ὅτε δὲ ταῦτα ἦν, σχεδὸν μέσαι ἦσαν νύκτες. Ἐνταῦθα Ἱερώνυμος Ἠλεῖος πρεσβύτερος ὢν τῶν Προξένου λοχαγῶν ἤρχετο λέγειν ὧδε· « Ἡμῖν, ὦ ἄνδρες στρατηγοὶ καὶ λοχαγοί, ὁρῶσι τὰ παρόντα ἔδοξε καὶ αὐτοῖς συνελθεῖν καὶ ὑμᾶς παρακαλέσαι, ὅπως βουλευσαίμεθα, εἴ τι δυναίμεθα ἀγαθόν. Λέξον δ' », ἔφη, « καὶ σύ, ὦ Ξενοφῶν, ἅπερ καὶ πρὸς ἡμᾶς ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 35 - 36 Ἐκ τούτου λέγει τάδε Ξενοφῶν· « Ἀλλὰ ταῦτα μὲν δὴ πάντες ἐπιστάμεθα, ὅτι βασιλεὺς καὶ Τισσαφέρνης, οὓς μὲν ἠδυνήθησαν συνειλήφασιν ἡμῶν, τοῖς δ' ἄλλοις δῆλον ὅτι ἐπιβουλεύουσιν, ὡς, ἢν δύνωνται, ἀπολέσωσιν. Ἡμῖν δέ γε, οἶμαι, πάντα ποιητέα, ὡς μήποτε ἐπὶ τοῖς βαρβάροις γενώμεθα, ἀλλὰ μᾶλλον ἐκεῖνοι ἐφ' ἡμῖν. Εὖ τοίνυν ἐπίστασθε, ὅτι ὑμεῖς τοσοῦτοι ὄντες, ὅσοι νῦν συνεληλύθατε, μέγιστον ἔχετε καιρόν. Οἱ γὰρ στρατιῶται οὗτοι πάντες πρὸς ὑμᾶς βλέπουσι, κἂν μὲν ὑμᾶς ὁρῶσιν ἀθυμοῦντας, πάντες κακοὶ ἔσονται, ἢν δὲ ὑμεῖς αὐτοί τε παρασκευαζόμενοι φανεροὶ ἦτε ἐπὶ τοὺς πολεμίους καὶ τοὺς ἄλλους παρακαλῆτε, εὖ ἴστε, ὅτι ἕψονται ὑμῖν καὶ πειράσονται μιμεῖσθαι.

§ 37 - 38 » Ἴσως δέ τοι καὶ δίκαιόν ἐστιν ὑμᾶς διαφέρειν τι τούτων. Ὑμεῖς γάρ ἐστε στρατηγοί, ὑμεῖς ταξίαρχοι καὶ λοχαγοί· καὶ ὅτε εἰρήνη ἦν, ὑμεῖς καί χρήμασι καὶ τιμαῖς τούτων ἐπλεονεκτεῖτε· καὶ νῦν τοίνυν, ἐπεὶ πόλεμός ἐστιν, ἀξιοῦν δεῖ αὐτοὺς ὑμᾶς ἀμείνους τε τοῦ πλήθους εἶναι καὶ προβουλεύειν τούτων καὶ προπονεῖν, ἤν που δέῃ. Καὶ νῦν πρῶτον μὲν οἴομαι ἂν ὑμᾶς μέγα ὠφελῆσαι τὸ στράτευμα, εἰ ἐπιμεληθείητε, ὅπως ἀντὶ τῶν ἀπολωλότων ὡς τάχιστα στρατηγοὶ καὶ λοχαγοὶ ἀντικατασταθῶσιν. Ἄνευ γὰρ ἀρχόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν γένοιτο, ὡς μὲν συνελόντι εἰπεῖν, οὐδαμοῦ, ἐν δὲ τοῖς πολεμικοῖς παντάπασιν. Ἡ μὲν γὰρ εὐταξία σῴζειν δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν.

§ 39 - 42 » Ἐπειδὰν δὲ καταστήσησθε τοὺς ἄρχοντας, ὅσους δεῖ, ἢν καὶ τοὺς ἄλλους στρατιώτας συλλέγητε καὶ παραθαρρύνητε, οἶμαι ἂν ὑμᾶς πάνυ ἐν καιρῷ ποιῆσαι. Νῦν γὰρ ἴσως καὶ ὑμεῖς αἰσθάνεσθε, ὡς ἀθύμως μὲν ἦλθον ἐπὶ τὰ ὅπλα, ἀθύμως δὲ πρὸς τὰς φυλακάς· ὥστε οὕτω γ' ἐχόντων τῶν στρατιωτῶν οὐκ οἶδα, ὅ,τι ἄν τις χρήσαιτο αὐτοῖς, εἴτε νυκτὸς δέοι εἴτε καὶ ἡμέρας. Ἢν δέ τις τρέψῃ αὐτῶν τὰς γνώμας, ὡς μὴ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦτο μόνον ἐννοῶνται, τί πείσονται, ἀλλὰ καὶ τί ποιήσουσι, πολὺ εὐθυμότεροι ἔσονται. Ἐπίστασθε γὰρ δή, ὅτι οὔτε πλῆθός ἐστιν οὔτε ἰσχὺς ἡ ἐν τῷ πολέμῳ τὰς νίκας ποιοῦσα, ἀλλ' ὁπότεροι ἂν σὺν τοῖς θεοῖς ταῖς ψυχαῖς ἐρρωμενέστεροι ἴωσιν ἐπὶ τοὺς πολεμίους, τούτους ὡς ἐπὶ τὸ πολὺ οἱ ἀντίοι οὐ δέχονται.

» Ἐντεθύμημαι δ' ἔγωγε, ὦ ἄνδρες, καὶ τοῦτο, ὅτι, ὁπόσοι § 43 - 44
μὲν πειρῶνται ζῆν ἐκ παντὸς τρόπου ἐν τοῖς πολέμοις, οὗτοι μὲν κακῶς τε καὶ αἰσχρῶς ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν, ὁπόσοι δὲ τὸν μὲν θάνατον ἐγνώκασι πᾶσι κοινὸν εἶναι καὶ ἀναγκαῖον ἀνθρώποις, περὶ δὲ τοῦ καλῶς ἀποθνήσκειν ἀγωνίζονται, τούτους ὁρῶ μᾶλλόν πως εἰς τὸ γῆρας ἀφικνουμένους καί, ἕως ζῶσιν, εὐδαιμονέστερον διάγοντας. Ἃ καὶ ὑμᾶς δεῖ νῦν καταμαθόντας, ἐν τοιούτῳ γὰρ καιρῷ ἐσμεν, αὐτούς τε ἄνδρας ἀγαθοὺς εἶναι καὶ τοὺς ἄλλους παρακαλεῖν ». Ὁ μὲν ταῦτα εἰπὼν ἐπαύσατο.

Μετὰ δὲ τοῦτον εἶπε Χειρίσοφος· « Ἀλλὰ πρόσθεν μέν, § 45 - 47
ὦ Ξενοφῶν, τοσοῦτον μόνον σε ἐγίγνωσκον, ὅσον ἤκουον Ἀθηναῖον εἶναι, νῦν δὲ καὶ ἐπαινῶ σε, ἐφ' οἷς λέγεις τε καὶ πράττεις, καὶ βουλοίμην ἂν ὅτι πλείστους εἶναι τοιούτους· κοινὸν γὰρ ἂν εἴη τὸ ἀγαθόν. Καὶ νῦν », ἔφη, « μὴ μέλλωμεν, ὦ ἄνδρες, ἀλλ' ἀπελθόντες ἤδη αἱρεῖσθε οἱ δεόμενοι ἄρχοντας, καὶ ἑλόμενοι ἥκετε εἰς τὸ μέσον τοῦ στρατοπέδου καὶ τοὺς αἱρεθέντας ἄγετε· ἔπειτ' ἐκεῖ συγκαλοῦμεν τοὺς ἄλλους στρατιώτας. Παρέστω δ' ἡμῖν », ἔφη, « καὶ Τολμίδης ὁ κῆρυξ ». Καὶ ἅμα ταῦτ' εἰπὼν ἀνέστη, ὡς μὴ μέλλοιτο, ἀλλὰ περαίνοιτο τὰ δέοντα. Ἐκ τούτου ᾑρέθησαν ἄρχοντες ἀντὶ μὲν Κλεάρχου Τιμασίων Δαρδανεύς, ἀντὶ δὲ Σωκράτους Ξανθικλῆς Ἀχαιός, ἀντὶ δὲ Ἀγίου Κλεάνωρ Ἀρκάς, ἀντὶ δὲ Μένωνος Φιλήσιος Ἀχαιός, ἀντὶ δὲ Προξένου Ξενοφῶν Ἀθηναῖος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 9. Γενικὴ συνέλευσις τοῦ στρατεύματος. Λόγοι ἐν αὐτῇ καὶ ἀποφάσεις.

( **2**, 1 - 39 )

### α ) Λόγοι Χειρισόφου καὶ Κλεάνορος.

( **2**, 1 - 6 )

§ 1 - 3 Ἐπεὶ δὲ ᾔρηντο, ἡμέρα τε σχεδὸν ὑπέφαινε καὶ εἰς τὸ μέσον τοῦ στρατοπέδου ἧκον οἱ ἄρχοντες· καὶ ἔδοξεν αὐτοῖς προφύλακας καταστήσαντας συγκαλεῖν τοὺς στρατιώτας. Ἐπεὶ δὲ οἱ στρατιῶται συνῆλθον, ἀνέστη πρῶτος μὲν Χειρίσοφος ὁ Λακεδαιμόνιος καὶ ἔλεξεν ὧδε· « Ἄνδρες στρατιῶται, χαλεπὰ μὲν τὰ παρόντα, ὁπότε ἀνδρῶν στρατηγῶν τοιούτων στερόμεθα καὶ λοχαγῶν καὶ στρατιωτῶν, πρὸς δ' ἔτι καὶ οἱ ἀμφὶ Ἀριαῖον οἱ πρόσθεν σύμμαχοι ὄντες προδεδώκασιν ἡμᾶς· ὅμως δὲ δεῖ ἐν τῷ παρόντι ἄνδρας ἀγαθοὺς γίγνεσθαι καὶ μὴ ὑφίεσθαι, ἀλλὰ πειρᾶσθαι, ὅπως, ἢν μὲν δυνώμεθα, καλῶς νικῶντες σῳζώμεθα εἰ δὲ μή, καλῶς γε ἀποθνήσκωμεν, ὑποχείριοι δὲ μηδέποτε γενώμεθα ζῶντες τοῖς πολεμίοις. Οἴομαι γὰρ ἂν ἡμᾶς τοιαῦτα παθεῖν, οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιήσειαν ».

§ 4 - 6 Μετὰ τοῦτον Κλεάνωρ ὁ Ὀρχομένιος ἀνέστη καὶ ἔλεξεν ὧδε· « Ἀλλ' ὁρᾶτε μέν, ὦ ἄνδρες, τὴν βασιλέως ἐπιορκίαν καὶ ἀσέβειαν, ὁρᾶτε δὲ τὴν Τισσαφέρνους ἀπιστίαν, ὅστις λέγων, ὡς γείτων τε εἴη τῆς Ἑλλάδος καὶ περὶ πλείστου ἂν ποιήσαιτο σῶσαι ἡμᾶς, καὶ ἐπὶ τούτοις αὐτὸς ὀμόσας ἡμῖν καὶ αὐτὸς δεξιὰς δούς, αὐτὸς ἐξαπατήσας συνέλαβε τοὺς στρατηγοὺς καὶ οὐδὲ Δία ξένιον ᾐδέσθη, ἀλλὰ Κλεάρχῳ καὶ ὁμοτράπεζος γενόμενος, αὐτοῖς τούτοις ἐξαπατήσας τοὺς ἄνδρας ἀπολώλεκεν. Ἀριαῖος δέ, ὃν ἡμεῖς ἠθέλομεν βασιλέα καθιστάναι, καὶ ἐδώκαμεν καὶ ἐλάβομεν πιστὰ μὴ προδώσειν ἀλλήλους, καὶ οὗτος οὔτε τοὺς θεοὺς δείσας οὔτε Κῦρον τε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θνηκότα αἰδεσθείς, τιμώμενος μάλιστα ὑπὸ Κύρου ζῶντος, νῦν πρὸς τοὺς ἐκείνου ἐχθίστους ἀποστάς, ἡμᾶς τοὺς Κύρου φίλους κακῶς ποιεῖν πειρᾶται. Ἀλλὰ τούτους μὲν οἱ θεοὶ ἀποτείσαιντο· ἡμᾶς δὲ δεῖ ταῦτα ὁρῶντας μήποτε ἐξαπατηθῆναι ἔτι ὑπὸ τούτων, ἀλλὰ μαχομένους, ὡς ἂν δυνώμεθα κράτιστα, τοῦτο, ὅ,τι ἂν δοκῇ τοῖς θεοῖς, πάσχειν ».

### β ) Λόγος Ξενοφῶντος.

( **2**, 7 - 32 )

Ἐκ τούτου Ξενοφῶν ἀνίσταται ἐσταλμένος ἐπὶ πόλεμον, ὡς ἐδύνατο κάλλιστα, νομίζων, εἴτε νίκην διδοῖεν οἱ θεοί, τὸν κάλλιστον κόσμον τῷ νικᾶν πρέπειν, εἴτε τελευτᾶν δέοι, ὀρθῶς ἔχειν τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα, ἐν τούτοις τῆς τελευτῆς τυγχάνειν· τοῦ λόγου δὲ ἤρχετο ὧδε· § 7

« Τὴν μὲν τῶν βαρβάρων ἐπιορκίαν τε καὶ ἀπιστίαν λέγει μὲν Κλεάνωρ, ἐπίστασθε δὲ καὶ ὑμεῖς, οἶμαι. Εἰ μὲν οὖν βουλόμεθα πάλιν αὐτοῖς φιλικῶς χρῆσθαι, ἀνάγκη ἡμᾶς πολλὴν ἀθυμίαν ἔχειν ὁρῶντας καὶ τοὺς στρατηγούς, οἳ διὰ πίστεως αὐτοῖς ἑαυτοὺς ἐνεχείρισαν, οἷα πεπόνθασιν· εἰ μέντοι διανοούμεθα σὺν τοῖς ὅπλοις ὧν τε πεποιήκασι δίκην ἐπιθεῖναι αὐτοῖς καὶ τὸ λοιπὸν ἐκ παντὸς τρόπου πολεμεῖν αὐτοῖς, σὺν τοῖς θεοῖς πολλαὶ ἡμῖν καὶ καλαὶ ἐλπίδες εἰσὶ σωτηρίας ». § 8

Τοῦτο δὲ λέγοντος αὐτοῦ πτάρνυταί τις· ἀκούσαντες δ' οἱ στρατιῶται πάντες μιᾷ ὁρμῇ προσεκύνησαν τὸν θεόν, καὶ ὁ Ξενοφῶν εἶπε· « Δοκεῖ μοι, ὦ ἄνδρες, ἐπεὶ περὶ σωτηρίας ἡμῶν λεγόντων οἰωνὸς τοῦ Διὸς τοῦ σωτῆρος ἐφάνη, εὔξασθαι τῷ θεῷ τούτῳ θύσειν σωτήρια, ὅπου ἂν πρῶτον εἰς φιλίαν χώραν ἀφικώμεθα, συνεπεύξασθαι δὲ καὶ τοῖς ἄλλοις θεοῖς θύσειν κατὰ δύναμιν. Καὶ ὅτῳ δοκεῖ τοῦτ' », ἔφη, « ἀνατεινάτω τὴν χεῖρα ». Καὶ ἀνέτειναν ἅπαντες. Ἐκ τούτου ηὔξαντο καὶ ἐπαιάνισαν. § 9



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 10 Ἐπεὶ δὲ τὰ τῶν θεῶν καλῶς εἶχεν, ἤρχετο πάλιν ὧδε· « Ἐτύγχανον λέγων, ὅτι πολλαὶ καὶ καλαὶ ἐλπίδες ἡμῖν εἶεν σωτηρίας. Πρῶτον μὲν γὰρ ἡμεῖς μὲν ἐμπεδοῦμεν τοὺς τῶν θεῶν ὅρκους, οἱ δὲ πολέμιοι ἐπιωρκήκασί τε καὶ τὰς σπονδὰς παρὰ τοὺς ὅρκους λελύκασιν. Ἐπεὶ δὲ ταῦτα οὕτως ἔχει, εἰκὸς τοῖς μὲν πολεμίοις ἐναντίους εἶναι τοὺς θεούς, ἡμῖν δὲ συμμάχους, οἵπερ ἱκανοί εἰσι καὶ τοὺς μεγάλους ταχὺ μικροὺς ποιεῖν καὶ τοὺς μικρούς, κἂν ἐν δεινοῖς ὦσι, σῴζειν εὐπετῶς, ὅταν βούλωνται.

§ 11 - 13 »Ἔπειτα δὲ ἀναμνήσω ὑμᾶς καὶ τοὺς τῶν προγόνων τῶν ἡμετέρων κινδύνους, ἵνα εἰδῆτε, ὡς ἀγαθοῖς τε ὑμῖν προσήκει εἶναι σῴζονταί τε σὺν τοῖς θεοῖς καὶ ἐκ πάνυ δεινῶν οἱ ἀγαθοί. Ἐλθόντων μὲν γὰρ Περσῶν καὶ τῶν σὺν αὐτοῖς παμπληθεῖ στόλῳ ὡς ἀφανιούντων τὰς Ἀθήνας, ἀντιστῆναι αὐτοῖς Ἀθηναῖοι τολμήσαντες, ἐνίκησαν αὐτούς. Καὶ εὐξάμενοι τῇ Ἀρτέμιδι, ὁπόσους κατακάνοιεν τῶν πολεμίων, τοσαύτας χιμαίρας καταθύσειν τῇ θεῷ, ἐπεὶ οὐκ εἶχον ἱκανὰς εὑρεῖν, ἐψηφίσαντο κατ' ἐνιαυτὸν πεντακοσίας θύειν καὶ ἔτι νῦν ἀποθύουσιν. Ἔπειτα, ὅτε Ξέρξης ὕστερον ἀγείρας τὴν ἀναρίθμητον στρατιὰν ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, καὶ τότε ἐνίκων οἱ ἡμέτεροι πρόγονοι τοὺς τούτων προγόνους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. Ὧν ἔστι μὲν τεκμήρια ὁρᾶν τὰ τρόπαια, μέγιστον δὲ μαρτύριον ἡ ἐλευθερία τῶν πόλεων, ἐν αἷς ὑμεῖς ἐγένεσθε καὶ ἐτράφητε· οὐδένα γὰρ ἄνθρωπον δεσπότην, ἀλλὰ τοὺς θεοὺς προσκυνεῖτε. Τοιούτων μέν ἐστε προγόνων.

§ 14 - 16 » Οὐκ ἐρῶ δ' ὅμως τοῦτο, ὡς ὑμεῖς καταισχύνετε αὐτούς· ἀλλ' οὔπω πολλαὶ ἡμέραι, ἀφ' οὗ ἀντιταξάμενοι τούτοις τοῖς ἐκείνων ἐκγόνοις πολλαπλασίους ὑμῶν ἐνικᾶτε σὺν τοῖς θεοῖς. Καὶ τότε μὲν δὴ περὶ τῆς Κύρου βασιλείας μαχόμενοι ἄνδρες ἦτε ἀγαθοί· νῦν δ', ὁπότε περὶ τῆς ὑμετέρας σωτηρίας ὁ ἀγών ἐστι, πολὺ δήπου ὑμᾶς προσήκει καὶ ἀμείνονας καὶ προθυ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μοτέρους εἶναι. Ἀλλὰ μὴν καὶ θαρραλεωτέρους νῦν πρέπει εἶναι πρὸς τοὺς πολεμίους. Τότε μὲν γὰρ ἄπειροι ὄντες αὐτῶν, τό τε πλῆθος ἄμετρον ὁρῶντες, ὅμως ἐτολμήσατε σὺν τῷ πατρίῳ φρονήματι ἰέναι ἐπ' αὐτούς· νῦν δέ, ὁπότε καὶ πεῖραν ἤδη ἔχετε αὐτῶν, ὅτι οὐ θέλουσι καίπερ πολλαπλάσιοι ὄντες δέχεσθαι ὑμᾶς, τί ἔτι ὑμῖν προσήκει τούτους φοβεῖσθαι ;

» Μηδὲ μέντοι τοῦτο μεῖον δόξητε ἔχειν, ὅτι οἱ Ἀριαίου § 17
πρόσθεν σὺν ἡμῖν ταττόμενοι νῦν ἀφεστήκασιν. Ἔτι γὰρ οὗτοι κακίονές εἰσι τῶν ὑφ' ἡμῶν ἡττημένων· ἔφυγον γοῦν πρὸς ἐκείνους καταλιπόντες ἡμᾶς. Τοὺς δὲ θέλοντας φυγῆς ἄρχειν πολὺ κρεῖττον σὺν τοῖς πολεμίοις ταττομένους ἢ ἐν τῇ ἡμετέρᾳ τάξει ὁρᾶν.

» Εἰ δέ τις ὑμῶν ἀθυμεῖ, ὅτι ἡμῖν μὲν οὐκ εἰσὶν ἱππεῖς, § 18 - 19
τοῖς δὲ πολεμίοις πολλοὶ πάρεισιν, ἐνθυμήθητε, ὅτι οἱ μύριοι ἱππεῖς οὐδὲν ἄλλο ἢ μύριοί εἰσιν ἄνθρωποι· ὑπὸ μὲν γὰρ ἵππου ἐν μάχῃ οὐδεὶς πώποτε οὔτε δηχθεὶς οὔτε λακτισθεὶς ἀπέθανεν, οἱ δὲ ἄνδρες εἰσὶν οἱ ποιοῦντες, ὅ,τι ἂν ἐν ταῖς μάχαις γίγνηται. Οὐκοῦν τῶν ἱππέων πολὺ ἡμεῖς ἐπ' ἀσφαλεστέρου ὀχήματός ἐσμεν· οἱ μὲν γὰρ ἐφ' ἵππων κρέμανται φοβούμενοι οὐχ ἡμᾶς μόνον, ἀλλὰ καὶ τὸ καταπεσεῖν· ἡμεῖς δ' ἐπὶ γῆς βεβηκότες πολὺ μὲν ἰσχυρότερον παίσομεν, ἤν τις προσίῃ, πολὺ δὲ μᾶλλον, ὅτου ἂν βουλώμεθα, τευξόμεθα. Ἑνὶ δὲ μόνῳ προέχουσιν οἱ ἱππεῖς· φεύγειν αὐτοῖς ἀσφαλέστερόν ἐστιν ἢ ἡμῖν.

» Εἰ δὲ τὰς μὲν μάχας θαρρεῖτε, τοῦτο δὲ ἄχθεσθε, ὅτι § 20 - 21
οὐκέτι ἡμῖν Τισσαφέρνης ἡγήσεται οὐδὲ βασιλεὺς ἀγορὰν παρέξει, σκέψασθε, πότερον κρεῖττον Τισσαφέρνην ἡγεμόνα ἔχειν, ὃς ἐπιβουλεύων ἡμῖν φανερός ἐστιν, ἢ οὓς ἂν ἡμεῖς ἄνδρας λαβόντες ἡγεῖσθαι κελεύωμεν, οἳ εἴσονται, ὅτι, ἤν τι περὶ ἡμᾶς ἁμαρτάνωσι, περὶ τὰς ἑαυτῶν ψυχὰς καὶ σώματα ἁμαρτήσονται. Τὰ δὲ ἐπιτήδεια πότερον ὠνεῖσθαι κρεῖττον ἐκ τῆς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγορᾶς, ἧς οὗτοι παρεῖχον, μικρὰ μέτρα πολλοῦ ἀργυρίου, μηδὲ τοῦτο ἔτι ἔχοντας, ἢ ἡμᾶς αὐτοὺς λαμβάνειν, ἥνπερ κρατῶμεν, μέτρῳ χρωμένους, ὁπόσῳ ἂν ἕκαστος βούληται ;

§ 22 » Εἰ δὲ ταῦτα μὲν γιγνώσκετε, ὅτι κρείττονα, τοὺς δὲ ποταμοὺς ἄπορον νομίζετε εἶναι καὶ μεγάλως ἡγεῖσθε ἐξαπατηθῆναι διαβάντες, σκέψασθε, εἰ ἄρα τοῦτό ἐστι τὸ μωρότατον, ὧν πεποιήκασιν οἱ βάρβαροι. Πάντες γὰρ ποταμοί, ἢν καὶ πρόσω τῶν πηγῶν ἄποροι ὦσι, προϊοῦσι πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται οὐδὲ τὸ γόνυ βρέχοντες.

§ 23 - 24 » Εἰ δὲ μήθ' οἱ ποταμοὶ διήσουσιν ἡγεμών τε μηδεὶς ἡμῖν φανεῖται, οὐδ' ἐπὶ τούτῳ ἡμῖν γε ἀθυμητέον. Ἐπιστάμεθα μὲν γὰρ Μυσούς, οὓς οὐκ ἂν φαῖμεν βελτίους εἶναι, ὅτι ἐν τῇ βασιλέως χώρᾳ πολλάς τε καὶ εὐδαίμονας καὶ μεγάλας πόλεις οἰκοῦσιν, ἐπιστάμεθα δὲ Πισίδας ὡσαύτως, Λυκάονας δὲ καὶ αὐτοὶ εἴδομεν, ὅτι ἐν τοῖς πεδίοις τὰ ἐρυμνὰ καταλαβόντες τὴν βασιλέως χώραν καρποῦνται· καὶ ἡμᾶς δ' ἂν ἔφην ἔγωγε χρῆναι μήπω φανεροὺς εἶναι οἴκαδε ὡρμημένους, ἀλλὰ κατασκευάζεσθαι ὡς αὐτοῦ που οἰκήσοντας. Οἶδα γάρ, ὅτι καὶ Μυσοῖς βασιλεὺς πολλοὺς μὲν ἡγεμόνας ἂν δοίη, πολλοὺς δ' ὁμήρους τοῦ ἀδόλως ἐκπέμψειν, καὶ ὁδοποιήσειέ γ' ἂν αὐτοῖς, καὶ εἰ σὺν τεθρίπποις βούλοιντο ἀπιέναι. Καὶ ἡμῖν γε οἶδα, ὅτι τρισάσμενος ταῦτ' ἂν ἐποίει, εἰ ἑώρα ἡμᾶς μένειν κατασκευαζομένους.

§ 25 - 26 » Ἀλλὰ γὰρ δέδοικα, μή, ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν καὶ ἐν ἀφθόνοις βιοτεύειν, ἐπιλαθώμεθα τῆς οἴκαδε ὁδοῦ. Δοκεῖ οὖν μοι εἰκὸς καὶ δίκαιον εἶναι πρῶτον εἰς τὴν Ἑλλάδα καὶ πρὸς τοὺς οἰκείους πειρᾶσθαι ἀφικνεῖσθαι καὶ ἐπιδεῖξαι τοῖς Ἕλλησιν, ὅτι ἑκόντες πένονται, ἐξὸν αὐτοῖς τοὺς νῦν σκληρῶς ἐκεῖ βιοτεύοντας ἐνθάδε κομισαμένους πλουσίους ὁρᾶν.

§ 27 - 28 » Ἀλλὰ γάρ, ὦ ἄνδρες, πάντα ταῦτα τἀγαθὰ δῆλον, ὅτι τῶν κρατούντων ἐστί· τοῦτο δὲ δεῖ λέγειν, ὅπως ἂν πορευοί-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μεθά τε ὡς ἀσφαλέστατα καί, εἰ μάχεσθαι δέοι, ὡς κράτιστα μαχοίμεθα. Πρῶτον μὲν τοίνυν », ἔφη, « δοκεῖ μοι κατακαῦσαι τὰς ἁμάξας, ἃς ἔχομεν, ἵνα μὴ τὰ ζεύγη ἡμῶν στρατηγῇ, ἀλλὰ πορευώμεθα, ὅπῃ ἂν τῇ στρατιᾷ συμφέρῃ· ἔπειτα καὶ τὰς σκηνὰς συγκατακαῦσαι. Αὗται γὰρ αὖ ὄχλον μὲν παρέχουσιν ἄγειν, συνωφελοῦσι δ' οὐδὲν οὔτε εἰς τὸ μάχεσθαι οὔτε εἰς τὸ τὰ ἐπιτήδεια ἔχειν. Ἔτι δὲ καὶ τῶν ἄλλων σκευῶν τὰ περιττὰ ἀπαλλάξωμεν, πλὴν ὅσα πολέμου ἕνεκεν ἢ σίτων ἢ ποτῶν ἔχομεν, ἵνα ὡς πλεῖστοι μὲν ἡμῶν ἐν τοῖς ὅπλοις ὦσιν, ὡς ἐλάχιστοι δὲ σκευοφορῶσι. Κρατουμένων μὲν γὰρ ἐπίστασθε, ὅτι πάντα ἀλλότρια· ἢν δὲ κρατῶμεν, καὶ τοὺς πολεμίους δεῖ σκευοφόρους ἡμετέρους νομίζειν.

» Λοιπόν μοι εἰπεῖν, ὅπερ καὶ μέγιστον, νομίζω εἶναι. § 29 - 31
Ὁρᾶτε καὶ τοὺς πολεμίους, ὅτι οὐ πρόσθεν ἐξενεγκεῖν ἐτόλμησαν πρὸς ἡμᾶς πόλεμον, πρὶν τοὺς στρατηγοὺς ἡμῶν συνέλαβον, νομίζοντες, ὄντων μὲν τῶν ἀρχόντων καὶ ἡμῶν πειθομένων, ἱκανοὺς εἶναι ἡμᾶς περιγενέσθαι τῷ πολέμῳ, ληφθέντων δὲ τῶν ἀρχόντων, ἀναρχίᾳ ἂν καὶ ἀταξίᾳ ἡμᾶς ἀπολέσθαι. Δεῖ οὖν πολὺ μὲν τοὺς ἄρχοντας ἐπιμελεστέρους γενέσθαι τοὺς νῦν τῶν πρόσθεν, πολὺ δὲ τοὺς ἀρχομένους εὐτακτοτέρους καὶ πειθομένους μᾶλλον τοῖς ἄρχουσιν νῦν ἢ πρόσθεν· ἢν δέ τις ἀπειθῇ, ψηφίσασθαι τὸν ἀεὶ ὑμῶν ἐντυγχάνοντα σὺν τῷ ἄρχοντι κολάζειν· οὕτως οἱ πολέμιοι πλεῖστον ἐψευσμένοι ἔσονται· τῇδε γὰρ τῇ ἡμέρᾳ μυρίους ὄψονται ἀνθ' ἑνὸς Κλεάρχους τοὺς οὐδενὶ ἐπιτρέψοντας κακῷ εἶναι.

» Ἀλλὰ γὰρ καὶ περαίνειν ἤδη ὥρα· ἴσως γὰρ οἱ πολέμιοι § 32
αὐτίκα παρέσονται. Ὅτῳ οὖν ταῦτα δοκεῖ καλῶς ἔχειν, ἐπικυρωσάτω ὡς τάχιστα, ἵνα ἔργῳ περαίνηται· εἰ δέ τι ἄλλο βέλτιον δοκεῖ ἢ τοῦτο, τολμάτω καὶ ὁ ἰδιώτης διδάσκειν· πάντες γὰρ κοινῆς σωτηρίας δεόμεθα ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**γ) Προτάσεις Χειρισόφου καὶ Ξενοφῶντος. Ἀποφάσεις τῆς γενικῆς συνελεύσεως τοῦ στρατοῦ. Τελευταῖαι συστάσεις τοῦ Ξενοφῶντος πρὸς τὸ στράτευμα.**

(**2**, 33 - 39)

§ 33 Μετὰ ταῦτα Χειρίσοφος εἶπεν· « Εἰ μέν τινος ἄλλου δεῖ πρὸς τούτοις, οἷς λέγει Ξενοφῶν, καὶ αὐτίκα ἐξέσται σκοπεῖν· ἃ δὲ νῦν εἴρηκε, δοκεῖ μοι ἄριστον εἶναι ὡς τάχιστα ψηφίσασθαι· καὶ ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα ». Ἀνέτειναν πάντες.

§ 34 - 36 Ἀναστὰς δὲ πάλιν εἶπε Ξενοφῶν· « Ὦ ἄνδρες, ἀκούσατε ὧν προσδεῖν δοκεῖ μοι. Δῆλον, ὅτι πορεύεσθαι ἡμᾶς δεῖ, ὅπου ἕξομεν τὰ ἐπιτήδεια· ἀκούω δὲ κώμας εἶναι καλὰς οὐ πλέον εἴκοσι σταδίων ἀπεχούσας· οὐκ ἂν οὖν θαυμάζοιμεν, εἰ οἱ πολέμιοι, ὥσπερ οἱ δειλοὶ κύνες τοὺς μὲν παριόντας διώκουσί τε καὶ δάκνουσιν, ἣν δύνωνται, τοὺς δὲ διώκοντας φεύγουσιν, εἰ καὶ αὐτοὶ ἡμῖν ἀπιοῦσιν ἐπακολουθοῖεν. Ἴσως οὖν ἀσφαλέστερον ἡμῖν πορεύεσθαι πλαίσιον ποιησαμένους τῶν ὁπλιτῶν, ἵνα τὰ σκευοφόρα καὶ ὁ πολὺς ὄχλος ἐν ἀσφαλεστέρῳ εἴη. Εἰ οὖν νῦν ἀποδειχθείη, τίνας χρὴ ἡγεῖσθαι τοῦ πλαισίου καὶ τὰ πρόσθεν κοσμεῖν καὶ τίνας ἐκ τῶν πλευρῶν ἑκατέρων εἶναι, τίνας δ' ὀπισθοφυλακεῖν, οὐκ ἄν, ὁπότε οἱ πολέμιοι ἔλθοιεν, βουλεύεσθαι ἡμᾶς δέοι, ἀλλὰ χρῴμεθα ἂν εὐθὺς τοῖς στρατιώταις τεταγμένοις.

§ 37 - 38 » Εἰ μὲν οὖν ἄλλο τις βέλτιον ὁρᾷ, ἄλλως ἐχέτω· εἰ δὲ μή, Χειρίσοφος μὲν ἡγείσθω, ἐπειδὴ καὶ Λακεδαιμόνιός ἐστι· τῶν δὲ πλευρῶν ἑκατέρων δύο τῶν πρεσβυτάτων στρατηγῶν ἐπιμελείσθων· ὀπισθοφυλακῶμεν δ' ἡμεῖς οἱ νεώτατοι, ἐγὼ καὶ Τιμασίων, τὸ νῦν εἶναι. Τὸ δὲ λοιπὸν πειρώμενοι ταύτης τῆς τάξεως βουλευσόμεθα, ὅ,τι ἂν ἀεὶ κράτιστον δοκῇ εἶναι. Εἰ δέ τις ἄλλο ὁρᾷ βέλτιον, λεξάτω ». Ἐπεὶ δ' οὐδεὶς ἀντέλεγεν, εἶπεν· « Ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα ». Ἔδοξε ταῦτα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

« Νῦν τοίνυν », ἔφη, « ἀπιόντας ποιεῖν δεῖ τὰ δεδογμένα. § 39
Καὶ ὅστις τε ὑμῶν τοὺς οἰκείους ἐπιθυμεῖ ἰδεῖν, μεμνήσθω ἀνὴρ ἀγαθὸς εἶναι· οὐ γὰρ ἔστιν ἄλλως τούτου τυχεῖν· ὅστις τε ζῆν ἐπιθυμεῖ, πειράσθω νικᾶν· τῶν μὲν γὰρ νικώντων τὸ κατακαίνειν, τῶν δὲ ἡττωμένων τὸ ἀποθνήσκειν ἐστί· καὶ εἴ τις δὲ χρημάτων ἐπιθυμεῖ, κρατεῖν πειράσθω· τῶν γὰρ νικώντων ἐστὶ καὶ τὰ ἑαυτῶν σῴζειν καὶ τὰ τῶν ἡττωμένων λαμβάνειν ».

*[ Οἱ Ἕλληνες ἤρχισαν νὰ ἐκτελοῦν τὰ ἀποφασισθέντα εἰς τὸ προηγούμενον κεφάλαιον, ὅτε προσέρχεται ὁ Πέρσης Μιθραδάτης, ὁ ὁποῖος προσποιεῖται φιλίαν πρὸς τοὺς Ἕλληνας καὶ ζητεῖ νὰ μάθῃ τοὺς σκοπούς των. Οἱ Ἕλληνες ὅμως ἐννοήσαντες, ὅτι οὗτος εἶχεν ἀποσταλῆ ἀπὸ τοὺς Πέρσας, ὅπως κατασκοπεύσῃ αὐτούς, ἀποφασίζουν νὰ ἔχουν πόλεμον, χωρὶς νὰ δέχωνται διαπραγματεύσεις.*

*Μετὰ ταῦτα, ἀφοῦ διέβησαν τὸν Ζαπάταν, ἐμφανίζεται πάλιν ὁ Μιθραδάτης μὲ ἱππεῖς, τοξότας καὶ σφενδονήτας, οἱ ὁποῖοι ἐπιτίθενται κατὰ τῶν Ἑλλήνων καὶ τραυματίζουν πολλοὺς ἐξ αὐτῶν. Οἱ Ἕλληνες στενοχωροῦνται διὰ τοῦτο καὶ κατὰ πρότασιν τοῦ Ξενοφῶντος καταρτίζουν καὶ αὐτοὶ σφενδονήτας καὶ ἱππεῖς.*

*Τὴν ἀκόλουθον ἡμέραν ἀφοῦ διέβησαν ἐπικίνδυνον χαράδραν, προσβάλλονται πάλιν ὑπὸ τοῦ Μιθραδάτου, ἀλλὰ ἀποκρούουν τὴν προσβολὴν μὲ τοὺς σφενδονήτας καὶ ἱππεῖς, τοὺς ὁποίους εἶχον παρασκευάσει τὴν προηγουμένην ἡμέραν. Ἀνενόχλητοι φθάνουν εἰς τὴν παρὰ τὸν Τίγρητα μεγάλην πόλιν Λάρισαν καὶ ἀπὸ ἐκεῖ τὴν ἑπομένην εἰς τὴν πόλιν Μέσπιλα.*

*Τὴν τρίτην ἡμέραν, ἐνῷ ἐπορεύοντο, ἐμφανίζεται ὁ Τισσαφέρνης μὲ πολυάριθμον στρατόν· ἐπειδὴ δὲ παρηνωχλοῦντο ὑπ᾿ αὐτοῦ, μεταβάλλουν τὴν παράταξιν τοῦ στρατοῦ, διὰ νὰ γίνεται ἡ πορεία των ἀσφαλεστέρα· οὕτω πορεύονται τέσσαρας ἡμέρας.*

*Τὴν πέμπτην ἡμέραν πορευόμενοι διὰ μέσου ὑψηλῶν λόφων στενοχωροῦνται ὑπὸ τῶν βαρβάρων καὶ μὲ δυσκολίαν φθάνουν εἰς κώμας, ὅπου μένουν τρεῖς ἡμέρας· τὴν δὲ τετάρτην ἡμέραν, ἐπειδὴ πάλιν ἐνεφανίσθη ὁ Τισσαφέρνης εἰς τὴν πεδιάδα, καταφεύγουν εἰς κώμην καὶ*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*ἀναμένουν ἐκεῖ τοὺς πολεμίους· οὗτοι δὲ ἀποκρουσθέντες στρατοπεδεύουν εἰς πολὺ μακρὰν ἀπόστασιν, διὰ ν' ἀποφύγουν τὴν συμπλοκὴν κατὰ τὴν νύκτα. Οἱ δὲ Ἕλληνες, ἀφοῦ ἐβεβαιώθησαν περὶ τῆς ἀναχωρήσεως τῶν βαρβάρων, ἀναχωροῦν καὶ αὐτοὶ καὶ πορεύονται τόσον μακράν, ὥστε τὰς δύο ἑπομένας ἡμέρας δὲν φαίνονται οἱ πολέμιοι.*

*Τὴν ἀκόλουθον ἡμέραν οἱ βάρβαροι καταλαμβάνουν θέσιν τινὰ ὑψηλοτέραν τοῦ μέρους, ἀπὸ τὸ ὁποῖον ἐσκόπευον νὰ διαβοῦν οἱ Ἕλληνες, δηλ. προεξοχήν τινα ὄρους, ὑπὸ τὴν ὁποίαν ἦτο ἡ ἄγουσα πρὸς τὴν πεδιάδα ὁδός. Ὁ Χειρίσοφος παρετήρησε τοῦτο καὶ δὲν ἤξευρε, τί νὰ πράξῃ. Ὁ Ξενοφῶν ὅμως ἀνακαλύπτει κορυφήν τινα τοῦ ὄρους ὑψηλοτέραν τῆς προεξοχῆς καὶ ἀναβαίνει μὲ πελταστάς, διὰ νὰ καταλάβῃ αὐτήν· τοῦτο ὅτε εἶδον οἱ ἐπὶ τῆς προεξοχῆς πολέμιοι, ὁρμοῦν καὶ αὐτοὶ εἰς τὴν κορυφήν· ἀλλ' οἱ Ἕλληνες ἁμιλλώμενοι προκαταλαμβάνουν αὐτήν.]*

## 10. Διαμονὴ τῶν Ἑλλήνων ἐν τῇ πεδιάδι, τῇ μεταξὺ τοῦ Τίγρητος ποταμοῦ καὶ τῶν Καρδουχείων ὀρέων. Ἀπόφασις αὐτῶν περὶ τῆς περαιτέρω πορείας.

(**5**, 1 - 18)

§ 1 - 3 Ἔνθα δὴ οἱ μὲν βάρβαροι στραφέντες ἔφευγον, ᾗ ἕκαστος ἐδύνατο, οἱ δὲ Ἕλληνες κατεῖχον τὸ ἄκρον. Οἱ δὲ ἀμφὶ Τισσαφέρνην καὶ Ἀριαῖον ἀποτραπόμενοι ἄλλην ὁδὸν ᾤχοντο. Οἱ δὲ ἀμφὶ Χειρίσοφον καταβάντες εἰς τὸ πεδίον ἐστρατοπεδεύοντο ἐν κώμῃ μεστῇ πολλῶν ἐπιτηδείων. Ἦσαν δὲ καὶ ἄλλαι κῶμαι πολλαὶ πλήρεις πολλῶν ἐπιτηδείων ἐν τούτῳ τῷ πεδίῳ παρὰ τὸν Τίγρητα ποταμόν. Ἡνίκα δ' ἦν δείλη, ἐξαίφνης οἱ πολέμιοι ἐπιφαίνονται ἐν τῷ πεδίῳ, καὶ τῶν Ἑλλήνων κατέκοψάν τινας τῶν ἐσκεδασμένων ἐν τῷ πεδίῳ εἰς ἁρπαγήν· καὶ γὰρ νομαὶ πολλαὶ βοσκημάτων διαβιβαζόμεναι εἰς τὸ πέραν τοῦ ποταμοῦ κατελήφθησαν. Ἐνταῦθα Τισσαφέρνης καὶ οἱ σὺν αὐτῷ καίειν ἐπεχείρησαν τὰς κώμας. Καὶ τῶν Ἑλλήνων μάλα ἠθύμησάν τινες φοβούμενοι, μὴ οὐκ ἔχοιεν, ὁπόθεν λαμβάνοιεν τὰ ἐπιτήδεια, εἰ οἱ πολέμιοι καίοιεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ δὲ Ξενοφῶν ἐπεὶ ἀπὸ τοῦ ἄκρου κατέβη, παρελαύνων § 4 - 6
τὰς τάξεις ἔλεγεν· « Ὁρᾶτε, ὦ ἄνδρες Ἕλληνες, τοὺς πολεμίους ἐῶντας τὴν χώραν ἤδη ἡμετέραν εἶναι ; Ἃ γάρ, ὅτε ἐσπένδοντο, διεπράττοντο, μὴ καίειν ἡμᾶς τὴν βασιλέως χώραν, ταῦτα νῦν αὐτοὶ ποιοῦσι καίοντες ὡς ἀλλοτρίαν. Ἀλλ' ἐάν που καταλίπωσί γε αὐτοῖς τὰ ἐπιτήδεια, ὄψονται καὶ ἡμᾶς αὐτόσε πορευομένους. Ἀλλ', ὦ Χειρίσοφε », ἔφη, « δοκεῖ μοι ἐπιέναι ἐπὶ τοὺς καίοντας ». Ὁ δὲ Χειρίσοφος εἶπεν· « Οὔκουν ἔμοιγε δοκεῖ· ἀλλὰ καὶ ἡμεῖς », ἔφη, « καίωμεν, καὶ οὕτω θᾶττον παύσονται ».

Ἐπεὶ δὲ ἐπὶ τὸ στρατόπεδον ἀπῆλθον, οἱ μὲν ἄλλοι περὶ § 7
τὰ ἐπιτήδεια ἦσαν, στρατηγοὶ δὲ καὶ λοχαγοὶ συνῇσαν. Καὶ ἐνταῦθα πολλὴ ἀπορία ἦν. Ἔνθεν μὲν γὰρ ὄρη ἦν ὑπερύψηλα, ἔνθεν δὲ ὁ ποταμὸς τοσοῦτος τὸ βάθος, ὥστε μηδὲ τὰ δόρατα ὑπερέχειν πειρωμένοις τοῦ βάθους.

Ἀπορουμένοις δ' αὐτοῖς προσελθών τις ἀνὴρ Ῥόδιος εἶ- § 8 - 11
πεν· « Ἐγὼ θέλω, ὦ ἄνδρες, διαβιβάσαι ὑμᾶς ἀνὰ τετρακισχιλίους ὁπλίτας, ἐὰν ἐμοί, ὧν δέομαι, παράσχητε καὶ τάλαντον μισθὸν πορίσητε ». Ἐρωτώμενος δέ, ὅτου δέοιτο, « Ἀσκῶν », ἔφη, « δισχιλίων δεήσομαι· πολλὰ δ' ὁρῶ πρόβατα καὶ αἶγας καὶ βοῦς καὶ ὄνους, ἃ ἀποδαρέντα καὶ φυσηθέντα ῥᾳδίως ἂν παρέχοι τὴν διάβασιν. Δεήσομαι δὲ καὶ τῶν δεσμῶν, οἷς χρῆσθε περὶ τὰ ὑποζύγια· τούτοις ζεύξας τοὺς ἀσκοὺς πρὸς ἀλλήλους, ὁρμίσας ἕκαστον ἀσκὸν λίθους ἀρτήσας καὶ ἀφεὶς ὥσπερ ἀγκύρας εἰς τὸ ὕδωρ, διαγαγὼν καὶ ἀμφοτέρωθεν δήσας ἐπιβαλῶ ὕλην καὶ γῆν ἐπιφορήσω· ὅτι μὲν οὖν οὐ καταδύσεσθε, αὐτίκα μάλα εἴσεσθε· πᾶς γὰρ ἀσκὸς δύο ἄνδρας ἕξει τοῦ μὴ καταδῦναι· ὥστε δὲ μὴ ὀλισθάνειν, ἡ ὕλη καὶ ἡ γῆ σχήσει ».

Ἀκούσασι ταῦτα τοῖς στρατηγοῖς τὸ μὲν ἐνθύμημα χα- § 12
ρίεν ἐδόκει εἶναι, τὸ δ' ἔργον ἀδύνατον· ἦσαν γὰρ οἱ κωλύ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σοντες πέραν τοῦ ποταμοῦ πολλοὶ ἱππεῖς, οἳ εὐθὺς τοῖς πρώτοις οὐδὲν ἂν ἐπέτρεπον τούτων ποιεῖν.

§ 13 - 14 Ἐνταῦθα τὴν μὲν ὑστεραίαν ἐπανεχώρουν εἰς τοὔμπαλιν εἰς τὰς ἀκαύστους κώμας κατακαύσαντες, ἔνθεν ἐξῆσαν· ὥστε οἱ πολέμιοι οὐ προσήλαυνον, ἀλλ' ἐθεῶντο καὶ ὅμοιοι ἦσαν θαυμάζουσιν, ὅποι ποτὲ τρέψονται οἱ Ἕλληνες καὶ τί ἐν νῷ ἔχοιεν. Ἐνταῦθα οἱ μὲν ἄλλοι στρατιῶται ἐπὶ τὰ ἐπιτήδεια ἦσαν· οἱ δὲ στρατηγοὶ πάλιν συνῆλθον, καὶ συναγαγόντες τοὺς ἑαλωκότας ἤλεγχον τὴν κύκλῳ πᾶσαν χώραν, τίς ἑκάστη εἴη.

§ 15 - 16 Οἱ δὲ ἔλεγον, ὅτι ἡ μὲν πρὸς μεσημβρίαν ἐπὶ Βαβυλῶνα καὶ Μηδίαν φέροι, ἡ δὲ πρὸς ἕω ἐπὶ Σοῦσά τε καὶ Ἐκβάτανα, ἔνθα θερίζειν λέγεται βασιλεύς, ἡ δὲ πρὸς ἑσπέραν ἐπὶ Λυδίαν καὶ Ἰωνίαν, ἡ δὲ διὰ τῶν ὀρέων καὶ πρὸς ἄρκτον τετραμμένη εἰς Καρδούχους. Τούτους δὲ ἔφασαν οἰκεῖν ἀνὰ τὰ ὄρη καὶ πολεμικοὺς εἶναι καὶ βασιλεῖ οὐ πειθαρχεῖν, ἀλλὰ καὶ ἐμβαλεῖν ποτε εἰς αὐτοὺς βασιλικὴν στρατιὰν δώδεκα μυριάδας· τούτων δ' οὐδένα ἀπονοστῆσαι διὰ τὴν δυσχωρίαν.

§ 17 - 18 Ἀκούσαντες ταῦτα οἱ στρατηγοὶ ἐκάθισαν χωρὶς τοὺς φάσκοντας εἰδέναι τὴν ἑκασταχόσε ὁδὸν οὐδὲν δῆλον ποιήσαντες, ὅποι πορεύεσθαι ἔμελλον. Ἐδόκει δὲ τοῖς στρατηγοῖς ἀναγκαῖον εἶναι διὰ τῶν ὀρέων εἰς Καρδούχους ἐμβάλλειν· τούτους γὰρ διελθόντας ἔφασαν ἥξειν εἰς Ἀρμενίαν, χώραν μεγάλην καὶ εὐδαίμονα, ἧς Ὀρόντας ἦρχεν. Ἐντεῦθεν δ' εὔπορον ἔφασαν εἶναι, ὅποι τις ἐθέλοι, πορεύεσθαι. Ἐπὶ τούτοις ἐθύσαντο, ἵνα, ὁπηνίκα δοκοίη, τὴν πορείαν ποιοῖντο· τὴν γὰρ ὑπερβολὴν τῶν ὀρέων ἐδεδοίκεσαν, μὴ προκαταληφθείη· καὶ παρήγγειλαν, ἐπειδὴ δειπνήσειαν, συσκευασαμένους πάντας ἀναπαύεσθαι, καὶ ἕπεσθαι, ἡνίκ' ἄν τις παραγγέλλῃ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ

## ΔΙΑ ΤΗΣ ΧΩΡΑΣ ΤΩΝ ΚΑΡΔΟΥΧΩΝ, ΤΩΝ ΑΡΜΕΝΙΩΝ ΚΑΙ ΤΩΝ ΓΕΙΤΟΝΙΚΩΝ ΛΑΩΝ ΕΩΣ ΤΗΝ ΤΡΑΠΕΖΟΥΝΤΑ

**( Νοέμβριος τοῦ 401 - Φεβρουάριος τοῦ 400 π. Χ. )**

### 11. Πορεία τῶν Ἑλλήνων διὰ τῶν Καρδουχείων ὀρέων.

( **1**, 5 - 28 )

Ἡνίκα δ' ἦν ἀμφὶ τὴν τελευταίαν φυλακὴν καὶ ἐλείπετο τῆς νυκτός, ὅσον σκοταίους διελθεῖν τὸ πεδίον, τηνικαῦτα ἀναστάντες ἀπὸ παραγγέλσεως πορευόμενοι ἀφικνοῦνται ἅμα τῇ ἡμέρᾳ πρὸς τὸ ὄρος. Ἔνθα δὴ Χειρίσοφος μὲν ἡγεῖτο τοῦ στρατεύματος λαβὼν τὸ ἀμφ' αὑτὸν καὶ τοὺς γυμνῆτας πάντας, Ξενοφῶν δὲ σὺν τοῖς ὀπισθοφύλαξιν ὁπλίταις εἵπετο οὐδένα ἔχων γυμνῆτα· οὐδεὶς γὰρ κίνδυνος ἐδόκει εἶναι, μή τις ἄνω πορευομένων ἐκ τοῦ ὄπισθεν ἐπίσποιτο. Καὶ ἐπὶ μὲν τὸ ἄκρον ἀναβαίνει Χειρίσοφος, πρίν τινας αἰσθέσθαι τῶν πολεμίων· ἔπειτα δ' ὑφηγεῖτο· ἐφείπετο δὲ ἀεὶ τὸ ὑπερβάλλον τοῦ στρατεύματος εἰς τὰς κώμας τὰς ἐν τοῖς ἄγκεσί τε καὶ μυχοῖς τῶν ὀρέων. § 5 - 7

Ἔνθα δὴ οἱ μὲν Καρδοῦχοι ἐκλιπόντες τὰς οἰκίας ἔχοντες καὶ γυναῖκας καὶ παῖδας ἔφευγον ἐπὶ τὰ ὄρη. Τὰ δὲ ἐπιτήδεια πολλὰ ἐξῆν λαμβάνειν· ἦσαν δὲ καὶ χαλκώμασι παμπόλλοις κατεσκευασμέναι αἱ οἰκίαι, ὧν οὐδὲν ἔφερον οἱ Ἕλληνες, οὐδὲ τοὺς ἀνθρώπους ἐδίωκον ὑποφειδόμενοι, εἴ πως ἐθελήσειαν οἱ Καρδοῦχοι διιέναι αὐτοὺς ὡς διὰ φιλίας τῆς χώρας, ἐπείπερ βασιλεῖ πολέμιοι ἦσαν· τὰ μέντοι ἐπιτήδεια, ὅπου τις § 8 - 9

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπιτυγχάνοι, ἐλάμβανον· ἀνάγκη γὰρ ἦν. Οἱ δὲ Καρδοῦχοι οὔτε καλούντων ὑπήκουον οὔτε ἄλλο φιλικὸν οὐδὲν ἐποίουν.

§ 10 - 11 Ἐπεὶ δὲ οἱ τελευταῖοι τῶν Ἑλλήνων κατέβαινον εἰς τὰς κώμας ἀπὸ τοῦ ἄκρου ἤδη σκοταῖοι — διὰ γὰρ τὸ στενὴν εἶναι τὴν ὁδὸν ὅλην τὴν ἡμέραν ἡ ἀνάβασις αὐτοῖς ἐγένετο καὶ κατάβασις —, τότε δὴ συλλεγέντες τινὲς τῶν Καρδούχων τοῖς τελευταίοις ἐπετίθεντο, καὶ ἀπέκτεινάν τινας καὶ λίθοις καὶ τοξεύμασι κατέτρωσαν ὀλίγοι ὄντες· ἐξ ἀπροσδοκήτου γὰρ αὐτοῖς ἐπέπεσε τὸ Ἑλληνικόν. Εἰ μέντοι τότε πλείους συνελέγησαν, ἐκινδύνευσεν ἂν διαφθαρῆναι πολὺ τοῦ στρατεύματος. Καὶ ταύτην μὲν τὴν νύκτα οὕτως ἐν ταῖς κώμαις ηὐλίσθησαν· οἱ δὲ Καρδοῦχοι πυρὰ πολλὰ ἔκαιον κύκλῳ ἐπὶ τῶν ὀρέων καὶ συνεώρων ἀλλήλους.

§ 12 - 14 Ἅμα δὲ τῇ ἡμέρᾳ συνελθοῦσι τοῖς στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων ἔδοξε τῶν τε ὑποζυγίων τὰ ἀναγκαῖα καὶ δυνατώτατα ἔχοντας πορεύεσθαι, καταλιπόντας τἆλλα, καί, ὅσα ἦν νεωστὶ αἰχμάλωτα ἀνδράποδα ἐν τῇ στρατιᾷ, πάντα ἀφεῖναι. Σχολαίαν γὰρ ἐποίουν τὴν πορείαν πολλὰ ὄντα τὰ ὑποζύγια καὶ τὰ αἰχμάλωτα, πολλοὶ δὲ οἱ ἐπὶ τούτοις ὄντες ἀπόμαχοι ἦσαν, διπλάσιά τε ἐπιτήδεια ἔδει πορίζεσθαι καὶ φέρεσθαι, πολλῶν τῶν ἀνθρώπων ὄντων. Ἐπεὶ οὖν ταῦτα ἔδοξεν, ἐκήρυξαν οὕτω ποιεῖν. Ἐπεὶ δὲ ἀριστήσαντες ἐπορεύοντο, ὑποστήσαντές τινας ἐν τῷ στενῷ οἱ στρατηγοί, εἴ τι εὑρίσκοιεν τῶν εἰρημένων μὴ ἀφειμένον, ἀφῃροῦντο, οἱ δὲ στρατιῶται ἐπείθοντο. Καὶ ταύτην μὲν τὴν ἡμέραν οὕτως ἐπορεύθησαν, τὰ μὲν μαχόμενοι, τὰ δὲ καὶ ἀναπαυόμενοι.

§ 15 - 18 Εἰς δὲ τὴν ὑστεραίαν γίγνεται χειμὼν πολύς, ἀναγκαῖον δ' ἦν πορεύεσθαι· οὐ γὰρ ἦν ἱκανὰ τἀπιτήδεια. Καὶ ἡγεῖτο μὲν Χειρίσοφος, εἵπετο δὲ σὺν τοῖς ὀπισθοφύλαξι Ξενοφῶν. Καὶ οἱ πολέμιοι ἰσχυρῶς ἐπετίθεντο, καὶ στενῶν ὄντων τῶν χωρίων, ἐγγὺς προσιόντες ἐτόξευον καὶ ἐσφενδόνων· ὥστε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἠναγκάζοντο οἱ Ἕλληνες, ἐπιδιώκοντες καὶ πάλιν ἀναχάζοντες, σχολῇ πορεύεσθαι· καὶ θαμινὰ παρήγγελλεν ὁ Ξενοφῶν ὑπομένειν, ὅτε οἱ πολέμιοι ἰσχυρῶς ἐπιτιθεῖντο. Ἐνταῦθα ὁ Χειρίσοφος ἄλλοτε μέν, ὅτε παρεγγυῷτο, ὑπέμενε, τότε δὲ οὐχ ὑπέμενεν, ἀλλ' ἦγε ταχέως καὶ παρηγγύα ἕπεσθαι, ὥστε δῆλον ἦν, ὅτι πρᾶγμά τι εἴη· σχολὴ δ' οὐκ ἦν τῷ Ξενοφῶντι παρελθεῖν καὶ ἰδεῖν τὸ αἴτιον τῆς σπουδῆς· ὥστε ἡ πορεία ὁμοία φυγῇ ἐγίγνετο τοῖς ὀπισθοφύλαξι. Καὶ ἐνταῦθα ἀποθνήσκει ἀνὴρ ἀγαθὸς Λακωνικὸς Κλεώνυμος τοξευθεὶς διὰ τῆς ἀσπίδος καὶ τῆς σπολάδος εἰς τὰς πλευράς, καὶ Βασίας Ἀρκὰς διαμπερὲς εἰς τὴν κεφαλήν.

Ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ σταθμόν, εὐθύς, ὥσπερ εἶχεν, ὁ § 19 - 22
Ξενοφῶν ἐλθὼν πρὸς τὸν Χειρίσοφον ᾐτιᾶτο αὐτόν, ὅτι οὐχ ὑπέμενεν, ἀλλ' ἠναγκάζοντο φεύγοντες ἅμα μάχεσθαι. « Καὶ νῦν δύο καλώ τε καὶ ἀγαθὼ ἄνδρε τέθνατον καὶ οὔτε ἀνελέσθαι οὔτε θάψαι ἐδυνάμεθα ». Ἀποκρίνεται ὁ Χειρίσοφος· « Βλέψον », ἔφη, « πρὸς τὰ ὄρη καὶ ἰδέ, ὡς ἄβατα πάντα ἐστί· μία δ' ὁδός ἐστιν αὕτη, ἣν ὁρᾷς, ὀρθία, καὶ ἐπὶ ταύτην ἀνθρώπων ὁρᾶν ἔξεστί σοι ὄχλον τοσοῦτον, οἳ κατειληφότες φυλάττουσι τὴν ἔκβασιν. Διὰ ταῦτ' ἐγὼ ἔσπευδον καὶ διὰ τοῦτό σε οὐχ ὑπέμενον, εἴ πως δυναίμην φθάσαι, πρὶν κατειλῆφθαι τὴν ὑπερβολήν· οἱ δ' ἡγεμόνες, οὓς ἔχομεν, οὔ φασιν εἶναι ἄλλην ὁδόν ». Ὁ δὲ Ξενοφῶν λέγει· « Ἀλλ' ἐγὼ ἔχω δύο ἄνδρας. Ἐπεὶ γὰρ οἱ Καρδοῦχοι ἡμῖν πράγματα παρεῖχον, ἐνηδρεύσαμεν, ὅπερ ἡμᾶς καὶ ἀναπνεῦσαι ἐποίησε, καὶ ἀπεκτείναμέν τινας αὐτῶν, καὶ ζῶντας προὐθυμήθημεν λαβεῖν αὐτοῦ τούτου ἕνεκα, ὅπως ἡγεμόσιν εἰδόσι τὴν χώραν χρησαίμεθα ».

Καὶ εὐθὺς ἀγαγόντες τοὺς ἀνθρώπους ἤλεγχον διαλαβόν- § 23 - 25
τες, εἴ τινα εἰδεῖεν ἄλλην ὁδὸν ἢ τὴν φανεράν. Ὁ μὲν οὖν ἕτερος οὐκ ἔφη, μάλα πολλῶν φόβων προσαγομένων· ἐπεὶ δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐδὲν ὠφέλιμον ἔλεγεν ὁρῶντος τοῦ ἑτέρου κατεσφάγη. Ὁ δὲ λοιπὸς ἔλεξεν, ὅτι οὗτος μὲν οὐ φαίη διὰ ταῦτα εἰδέναι, ὅτι αὐτῷ ἐτύγχανε θυγάτηρ ἐκεῖ παρ' ἀνδρὶ ἐκδεδομένη· αὐτὸς δ' ἔφη ἡγήσεσθαι δυνατὴν καὶ ὑποζυγίοις πορεύεσθαι ὁδόν. Ἐρωτώμενος δ', εἰ εἴη τι ἐν αὐτῇ δυσπάριτον χωρίον, ἔφη εἶναι ἄκρον, ὅ, εἰ μή τις προκαταλήψοιτο, ἀδύνατον ἔσεσθαι παρελθεῖν.

§ 26 - 28 Ἐνταῦθα δ' ἐδόκει συγκαλέσαντας τοὺς λοχαγοὺς τῶν ὁπλιτῶν καὶ τοὺς ταξιάρχους τῶν πελταστῶν λέγειν τε τὰ παρόντα καὶ ἐρωτᾶν, εἴ τις αὐτῶν ἔστιν, ὅστις ἀνὴρ ἀγαθὸς ἐθέλοι ἂν γενέσθαι καὶ ὑποστὰς ἐθελοντὴς πορεύεσθαι. Ὑφίσταται τῶν μὲν ὁπλιτῶν Ἀριστώνυμος Μεθυδριεὺς καὶ Ἀγασίας Στυμφάλιος, ἀντιστασιάζων δὲ αὐτοῖς Καλλίμαχος Παρράσιος ἔφη ἐθέλειν πορεύεσθαι προσλαβὼν ἐθελοντὰς ἐκ παντὸς τοῦ στρατεύματος· « ἐγὼ γάρ », ἔφη, « οἶδα, ὅτι ἕψονται πολλοὶ τῶν νέων ἐμοῦ ἡγουμένου ». Ἐκ τούτου ἐρωτῶσιν, εἴ τις καὶ τῶν γυμνήτων ταξίαρχος ἐθέλοι συμπορεύεσθαι. Ὑφίσταται Ἀριστέας Χῖος, ὃς πολλαχοῦ πολλοῦ ἄξιος τῇ στρατιᾷ εἰς τὰ τοιαῦτα ἐγένετο.

### 12. Περικύκλωσις τῆς ὑπὸ τῶν Καρδούχων κατεχομένης διόδου καὶ ἅλωσις αὐτῆς. Ἀγῶνες τῶν ὑπὸ τὸν Ξενοφῶντα ὀπισθοφυλάκων.

( **2**, 1 - 23 )

§ 1 - 2 Καὶ ἦν μὲν δείλη, Ξενοφῶν δὲ καὶ Χειρίσοφος ἐκέλευον τοὺς ἐθελοντὰς ἐμφαγόντας πορεύεσθαι. Καὶ τὸν ἡγεμόνα δήσαντες παραδιδόασιν αὐτοῖς, καὶ συντίθενται τὴν μὲν νύκτα, ἢν λάβωσι τὸ ἄκρον, τὸ χωρίον φυλάττειν, ἅμα δὲ τῇ ἡμέρᾳ τῇ σάλπιγγι σημαίνειν· καὶ τοὺς μὲν ἄνω ὄντας ἰέναι ἐπὶ τοὺς κατέχοντας τὴν φανερὰν ἔκβασιν, αὐτοὶ δὲ συμβοηθήσειν ἀναβαίνοντες, ὡς ἂν δύνωνται τάχιστα. Ταῦτα συνθέμενοι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἱ μὲν ἐπορεύοντο πλῆθος ὡς δισχίλιοι· καὶ ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ· Ξενοφῶν δὲ ἔχων τοὺς ὀπισθοφύλακας ἡγεῖτο πρὸς τὴν φανερὰν ἔκβασιν, ὅπως ταύτῃ τῇ ὁδῷ οἱ πολέμιοι προσέχοιεν τὸν νοῦν καὶ ὡς μάλιστα λάθοιεν τούτους οἱ περιιόντες.

Ἐπεὶ δὲ ἦσαν ἐπὶ χαράδρᾳ οἱ ὀπισθοφύλακες, ἣν ἔδει § 3-4
διαβάντας πρὸς τὸ ὄρθιον ἀναβαίνειν, τηνικαῦτα ἐκυλίνδουν οἱ βάρβαροι ὁλοιτρόχους ἁμαξιαίους, οἳ φερόμενοι, πρὸς τὰς πέτρας πταίοντες, διεσφενδονῶντο· καὶ παντάπασιν οὐδὲ πελάσαι οἷόν τ' ἦν τῇ εἰσόδῳ. Ἔνιοι δὲ τῶν λοχαγῶν, εἰ μὴ ταύτῃ δύναιντο, ἄλλῃ ἐπειρῶντο· καὶ ταῦτα ἐποίουν, μέχρι σκότος ἐγένετο· ἐπεὶ δὲ ᾤοντο ἀφανεῖς εἶναι ἀπιόντες, τότε ἀπῆλθον ἐπὶ τὸ δεῖπνον· ἐτύγχανον δὲ καὶ ἀνάριστοι ὄντες. Οἱ μέντοι πολέμιοι οὐδὲν ἐπαύσαντο δι' ὅλης τῆς νυκτὸς κυλινδοῦντες τοὺς λίθους· τεκμαίρεσθαι δ' ἐξῆν τῷ ψόφῳ.

Οἱ δ' ἔχοντες τὸν ἡγεμόνα κύκλῳ περιιόντες καταλαμ- § 5-6
βάνουσι τοὺς φύλακας ἀμφὶ πῦρ καθημένους· καὶ τοὺς μὲν κατακανόντες, τοὺς δὲ καταδιώξαντες αὐτοὶ ἐνταῦθ' ἔμενον οἰόμενοι τὸ ἄκρον κατέχειν. Οὐ μέντοι κατεῖχον, ἀλλὰ μαστὸς ἦν ὑπὲρ αὐτῶν, παρ' ὃν ἦν ἡ στενὴ αὕτη ὁδός, ἐφ' ᾗ ἐκάθηντο οἱ φύλακες. Ἔφοδος δ' ὅμως αὐτόθεν ἐπὶ τοὺς πολεμίους ἦν, οἳ ἐπὶ τῇ φανερᾷ ὁδῷ ἐκάθηντο.

Καὶ τὴν μὲν νύκτα ἐνταῦθα διήγαγον· ἐπεὶ δ' ἡμέρα ὑπέ- § 7-8
φαινεν, ἐπορεύοντο σιγῇ συντεταγμένοι ἐπὶ τοὺς πολεμίους· καὶ γὰρ ὁμίχλη ἐγένετο, ὥστε ἔλαθον ἐγγὺς προσελθόντες. Ἐπεὶ δὲ εἶδον ἀλλήλους, ἥ τε σάλπιγξ ἐφθέγξατο καὶ ἀλαλάξαντες ἵεντο ἐπὶ τοὺς πολεμίους· οἱ δὲ οὐκ ἐδέξαντο, ἀλλὰ λιπόντες τὴν ὁδὸν φεύγουσιν· ὀλίγοι δὲ ἀπέθνῃσκον· εὔζωνοι γὰρ ἦσαν. Οἱ δὲ ἀμφὶ Χειρίσοφον ἀκούσαντες τῆς σάλπιγγος εὐθὺς ἵεντο κατὰ τὴν φανερὰν ὁδόν· ἄλλοι δὲ τῶν στρατηγῶν κατὰ ἀτριβεῖς ὁδοὺς ἐπορεύοντο, ᾗ ἔτυχον ἕκαστοι ὄντες, καὶ ἀναβάντες, ὡς ἐδύναντο, ἀνεῖλκον ἀλλήλους τοῖς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δόρασι. Καὶ οὗτοι πρῶτοι συνέμειξαν τοῖς προκαταλαβοῦσι τὴν ἔκβασιν.

§ 9 - 12 Ξενοφῶν δὲ ἔχων τῶν ὀπισθοφυλάκων τοὺς ἡμίσεις ἐπορεύετο ταύτῃ τῇ ὁδῷ, ᾗπερ οἱ τὸν ἡγεμόνα ἔχοντες· εὐοδωτάτη γὰρ ἦν τοῖς ὑποζυγίοις· τοὺς δὲ ἡμίσεις ὄπισθεν τῶν ὑποζυγίων ἔταξε. Πορευόμενοι δ' ἐντυγχάνουσι λόφῳ ὑπὲρ τῆς ὁδοῦ κατειλημμένῳ ὑπὸ τῶν πολεμίων, οὓς ἢ ἀποκόψαι ἦν ἀνάγκη ἢ διεζεῦχθαι ἀπὸ τῶν ἄλλων Ἑλλήνων. Καὶ αὐτοὶ μὲν ἂν ἐπορεύθησαν, ᾗπερ οἱ ἄλλοι, τὰ δὲ ὑποζύγια οὐχ οἷόν τ' ἦν ἄλλῃ ἢ ταύτῃ ἀναβῆναι. Ἔνθα δὴ παρακελευσάμενοι ἀλλήλοις προσβάλλουσι πρὸς τὸν λόφον ὀρθίοις τοῖς λόχοις, οὐ κύκλῳ, ἀλλὰ καταλιπόντες ἄφοδον τοῖς πολεμίοις, εἰ βούλοιντο φεύγειν. Καὶ ἕως μὲν αὐτοὶ ἀνέβαινον, ὅπῃ ἐδύνατο ἕκαστος, οἱ βάρβαροι ἐτόξευον καὶ λίθοις ἔβαλλον, ἐπεὶ δὲ ἐγγὺς ἐγένοντο, οὐ δέχονται αὐτούς, ἀλλὰ φυγῇ λείπουσι τὸν λόφον. Καὶ τοῦτόν τε παρεληλύθεσαν οἱ Ἕλληνες καὶ ἕτερον ὁρῶσιν ἔμπροσθεν λόφον κατεχόμενον· ἐπὶ τοῦτον αὖθις ἐδόκει πορεύεσθαι.

§ 13 Φοβηθεὶς δ' ὁ Ξενοφῶν, μή, εἰ ἔρημον καταλίποι τὸν ἑαλωκότα λόφον, πάλιν λαβόντες οἱ πολέμιοι ἐπιθεῖντο τοῖς ὑποζυγίοις παριοῦσιν — ἐπὶ πολὺ δ' ἦν τὰ ὑποζύγια ἅτε διὰ στενῆς τῆς ὁδοῦ πορευόμενα —, καταλείπει ἐπὶ τοῦ λόφου λοχαγοὺς Κηφισόδωρον Κηφισοφῶντος Ἀθηναῖον καὶ Ἀμφικράτην Ἀμφιδήμου Ἀθηναῖον καὶ Ἀρχαγόραν Ἀργεῖον φυγάδα, αὐτὸς δὲ σὺν τοῖς λοιποῖς ἐπορεύετο ἐπὶ τὸν δεύτερον λόφον, καὶ τῷ αὐτῷ τρόπῳ καὶ τοῦτον αἱροῦσιν.

§ 14 - 16 Ἔτι δ' αὐτοῖς τρίτος μαστὸς λοιπὸς ἦν πολὺ ὀρθιώτατος ὁ ὑπὲρ τῆς φυλακῆς, ἡ κατελήφθη τῆς νυκτὸς ἐπὶ τῷ πυρὶ ὑπὸ τῶν ἐθελοντῶν. Ἐπεὶ δ' ἐγγὺς ἐγένοντο οἱ Ἕλληνες, λείπουσιν οἱ βάρβαροι ἀμαχητὶ τὸν μαστόν, ὥστε θαυμαστὸν πᾶσι γενέσθαι, καὶ ὑπώπτευον δείσαντας αὐτούς, μὴ κυκλω-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θέντες πολιορκοῖντο, ἀπολιπεῖν. Οἱ δ' ἄρα ἀπὸ τοῦ ἄκρου καθορῶντες τὰ ὄπισθεν γιγνόμενα πάντες ἐπὶ τοὺς ὀπισθοφύλακας ἐχώρουν. Καὶ Ξενοφῶν μὲν σὺν τοῖς νεωτάτοις ἀνέβαινεν ἐπὶ τὸ ἄκρον, τοὺς δὲ ἄλλους ἐκέλευσεν ὑπάγειν, ὅπως οἱ τελευταῖοι λόχοι προσμείξειαν, καὶ προελθόντας κατὰ τὴν ὁδὸν ἐν τῷ ὁμαλῷ θέσθαι τὰ ὅπλα.

Καὶ ἐν τούτῳ τῷ χρόνῳ ἦλθεν Ἀρχαγόρας ὁ Ἀργεῖος § 17 - 18
πεφευγὼς καὶ λέγει, ὡς ἀπεδιώχθησαν ἀπὸ τοῦ λόφου καὶ ὅτι τεθνᾶσι Κηφισόδωρος καὶ Ἀμφικράτης καὶ οἱ ἄλλοι, ὅσοι μὴ ἁλάμενοι κατὰ τῆς πέτρας πρὸς τοὺς ὀπισθοφύλακας ἀφίκοντο. Ταῦτα δὲ διαπραξάμενοι οἱ βάρβαροι ἧκον ἐπ' ἀντίπορον λόφον τῷ μαστῷ· καὶ ὁ Ξενοφῶν διελέγετο αὐτοῖς δι' ἑρμηνέως περὶ σπονδῶν καὶ τοὺς νεκροὺς ἀπῄτει. Οἱ δὲ ἔφασαν ἀποδώσειν, ἐφ' ᾧ μὴ καίειν τὰς οἰκίας. Συνωμολόγει ταῦτα ὁ Ξενοφῶν.

Ἐν ᾧ δὲ τὸ μὲν ἄλλο στράτευμα παρῄει, οἱ δὲ ταῦτα § 19 - 21
διελέγοντο, πάντες οἱ ἐκ τούτου τοῦ τόπου πολέμιοι συνερρύησαν ἐνταῦθα. Καὶ ἐπεὶ ἤρξαντο καταβαίνειν ἀπὸ τοῦ μαστοῦ πρὸς τοὺς ἄλλους, ἔνθα τὰ ὅπλα ἔκειτο, ἵεντο δὴ οἱ πολέμιοι πολλῷ πλήθει καὶ θορύβῳ· καὶ ἐπεὶ ἐγένοντο ἐπὶ τῆς κορυφῆς τοῦ μαστοῦ, ἀφ' οὗ Ξενοφῶν κατέβαινεν, ἐκυλίνδουν πέτρους· καὶ ἑνὸς μὲν κατέαξαν τὸ σκέλος, Ξενοφῶντα δὲ ὁ ὑπασπιστὴς ὁ ἔχων τὴν ἀσπίδα ἀπέλιπεν· ὁ ὁπλίτης δ' Εὐρύλοχος ὁ Λουσιεὺς προσέδραμεν αὐτῷ καὶ πρὸ ἀμφοῖν προβεβλημένος τὴν ἀσπίδα ἀπεχώρει· καὶ οἱ ἄλλοι πρὸς τοὺς ἐν τῷ ὁμαλῷ συντεταγμένους ἀπῆλθον.

Ἐκ δὲ τούτου πᾶν ὁμοῦ ἐγένετο τὸ Ἑλληνικὸν καὶ ἐσκή- § 22 - 23
νησαν αὐτοῦ ἐν πολλαῖς καὶ καλαῖς οἰκίαις καὶ ἐπιτηδείοις δαψιλέσι· καὶ γὰρ οἶνος πολὺς ἦν, ὥστε ἐν λάκκοις κονιατοῖς εἶχον. Ξενοφῶν δὲ καὶ Χειρίσοφος διεπράξαντο, ὥστε λαβεῖν τοὺς νεκροὺς ἀποδόντες τὸν ἡγεμόνα· καὶ πάντα ἐποίησαν



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῖς ἀποθανοῦσιν ἐκ τῶν δυνατῶν, ὥσπερ νομίζεται ἀνδράσιν ἀγαθοῖς.

## 13. Διάβασις τοῦ Κεντρίτου ποταμοῦ.

( **3**, 1 - 23 )

§ 1 - 2 Ταύτην δ' αὖ τὴν ἡμέραν ηὐλίσθησαν ἐν ταῖς κώμαις ταῖς ὑπὲρ πεδίου παρὰ τὸν Κεντρίτην ποταμόν, ὃς ὁρίζει τὴν Ἀρμενίαν καὶ τὴν τῶν Καρδούχων χώραν. Καὶ οἱ Ἕλληνες ἐνταῦθα ἀνέπνευσαν ἄσμενοι ἰδόντες πεδίον· ἀπεῖχε δὲ τῶν ὀρέων τῶν Καρδούχων ὁ ποταμὸς ἓξ ἢ ἑπτὰ στάδια. Τότε μὲν οὖν ηὐλίσθησαν μάλα ἡδέως καὶ τἀπιτήδεια ἔχοντες πολλὰ καὶ τῶν παρεληλυθότων πόνων μνημονεύοντες· ἑπτὰ γὰρ ἡμέρας, ὅσασπερ ἐπορεύθησαν διὰ τῶν Καρδούχων, πάσας μαχόμενοι διετέλεσαν καὶ ἔπαθον κακά, ὅσα οὐδὲ τὰ σύμπαντα ὑπὸ βασιλέως καὶ Τισσαφέρνους. Ὡς οὖν ἀπηλλαγμένοι τούτων ἡδέως ἐκοιμήθησαν.

§ 3 - 5 Ἅμα δὲ τῇ ἡμέρᾳ ὁρῶσιν ἱππέας που πέραν τοῦ ποταμοῦ ἐξωπλισμένους ὡς κωλύσοντας διαβαίνειν, πεζοὺς δ' ἐπὶ ταῖς ὄχθαις παρατεταγμένους ἄνω τῶν ἱππέων ὡς κωλύσοντας εἰς τὴν Ἀρμενίαν ἐκβαίνειν. Ἦσαν δ' οὗτοι Ὀρόντα καὶ Ἀρτούχα Ἀρμένιοι καὶ Μάρδοι καὶ Χαλδαῖοι μισθοφόροι. Ἐλέγοντο δὲ οἱ Χαλδαῖοι ἐλεύθεροί τε καὶ ἄλκιμοι εἶναι· ὅπλα δ' εἶχον γέρρα μακρὰ καὶ λόγχας. Αἱ δὲ ὄχθαι αὗται, ἐφ' ὧν παρατεταγμένοι οὗτοι ἦσαν, τρία ἢ τέτταρα πλέθρα ἀπὸ τοῦ ποταμοῦ ἀπεῖχον· ὁδὸς δὲ μία ἡ ὁρωμένη ἦν ἄγουσα ἄνω ὥσπερ χειροποίητος· ταύτῃ ἐπειρῶντο διαβαίνειν οἱ Ἕλληνες.

§ 6 - 7 Ἐπεὶ δὲ πειρωμένοις τό τε ὕδωρ ὑπὲρ τῶν μαστῶν ἐφαίνετο καὶ τραχὺς ἦν ὁ ποταμὸς μεγάλοις λίθοις καὶ ὀλισθηροῖς καὶ οὔτ' ἐν τῷ ὕδατι τὰ ὅπλα ἐξῆν ἔχειν — εἰ δὲ μή, ἥρπαζεν ὁ ποταμός· ἐπί τε τῆς κεφαλῆς τὰ ὅπλα εἴ τις φέροι, γυμνοὶ ἐγίγνοντο πρὸς τὰ τοξεύματα καὶ τἆλλα βέλη —, ἀνεχώρησαν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ αὐτοῦ ἐστρατοπεδεύσαντο παρὰ τὸν ποταμόν. Ἔνθα δὲ αὐτοὶ τὴν πρόσθεν νύκτα ἦσαν ἐπὶ τοῦ ὄρους, ἑώρων τοὺς Καρδούχους πολλοὺς συνειλεγμένους ἐν τοῖς ὅπλοις. Ἐνταῦθα δὴ πολλὴ ἀθυμία ἦν τοῖς Ἕλλησιν, ὁρῶσι μὲν τοῦ ποταμοῦ τὴν δυσπορίαν, ὁρῶσι δὲ τοὺς διαβαίνειν κωλύσοντας, ὁρῶσι δὲ τοῖς διαβαίνουσιν ἐπικεισομένους τοὺς Καρδούχους ὄπισθεν.

Ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ νύκτα ἔμειναν ἐν πολλῇ § 8 - 9
ἀπορίᾳ ὄντες. Ξενοφῶν δὲ ὄναρ εἶδεν· ἔδοξεν ἐν πέδαις δεδέσθαι, αὗται δὲ αὐτῷ αὐτόματοι περιρρυῆναι, ὥστε λυθῆναι καὶ διαβαίνειν, ὁπόσον ἐβούλετο. Ἐπεὶ δὲ ὄρθρος ἦν, ἔρχεται πρὸς τὸν Χειρίσοφον καὶ λέγει, ὅτι ἐλπίδας ἔχει καλῶς ἔσεσθαι, καὶ διηγεῖται αὐτῷ τὸ ὄναρ. Ὁ δὲ ἥδετό τε καί, ὡς τάχιστα ἕως ὑπέφαινεν, ἐθύοντο πάντες παρόντες οἱ στρατηγοί καὶ τὰ ἱερὰ καλὰ ἦν εὐθὺς ἐπὶ τοῦ πρώτου ἱερείου. Καὶ ἀπιόντες ἀπὸ τῶν ἱερῶν οἱ στρατηγοὶ παρήγγελλον τῇ στρατιᾷ ἀριστοποιεῖσθαι.

Καὶ ἀριστῶντι τῷ Ξενοφῶντι προσέτρεχον δύο νεανί- § 10 - 12
σκοι· ᾔδεσαν γὰρ πάντες, ὅτι ἐξείη προσελθεῖν αὐτῷ καὶ ἀριστῶντι καὶ δειπνοῦντι καί, εἰ καθεύδοι, ἐπεγείραντα εἰπεῖν, εἴ τίς τι ἔχοι τῶν πρὸς τὸν πόλεμον. Καὶ τότε ἔλεγον, ὅτι τυγχάνοιεν φρύγανα συλλέγοντες ὡς ἐπὶ πῦρ, κἄπειτα κατίδοιεν ἐν τῷ πέραν ἐν πέτραις καθηκούσαις ἐπ' αὐτὸν τὸν ποταμὸν γέροντά τε καὶ γυναῖκα καὶ παιδίσκας ὥσπερ μαρσίπους ἱματίων κατατιθεμένους ἐν πέτρᾳ ἀντρώδει. Ἰδοῦσι δὲ σφίσι δόξαι ἀσφαλὲς εἶναι διαβῆναι· οὐδὲ γὰρ τοῖς πολεμίοις ἱππεῦσι προσβατὸν εἶναι κατὰ τοῦτο. Ἐκδύντες δ' ἔφασαν ἔχοντες τὰ ἐγχειρίδια γυμνοὶ ὡς νευσόμενοι διαβαίνειν· πορευόμενοι δὲ πρόσθεν διαβῆναι, πρὶν βρέξαι τὴν κοιλίαν· καὶ διαβάντες λαβόντες τὰ ἱμάτια πάλιν ἥκειν.

Εὐθὺς οὖν ὁ Ξενοφῶν αὐτός τε ἔσπενδε καὶ τοῖς νεανί- § 13 - 15
σκοις ἐγχεῖν ἐκέλευε καὶ εὔχεσθαι τοῖς φήνασι θεοῖς τά τε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὀνείρατα καὶ τὸν πόρον ἐπιτελέσαι καὶ τὰ λοιπὰ ἀγαθά. Σπείσας δ' εὐθὺς ἦγε τοὺς νεανίσκους παρὰ τὸν Χειρίσοφον καὶ διηγοῦνται ταὐτά. Ἀκούσας δὲ ὁ Χειρίσοφος σπονδὰς ἐποίει· σπείσαντες δὲ τοῖς μὲν ἄλλοις παρήγγελλον συσκευάζεσθαι, αὐτοὶ δὲ συγκαλέσαντες τοὺς στρατηγοὺς ἐβουλεύοντο, ὅπως ἂν κάλλιστα διαβαῖεν καὶ τούς τε ἔμπροσθεν νικῷεν καὶ ὑπὸ τῶν ὄπισθεν μηδὲν πάσχοιεν κακόν. Καὶ ἔδοξεν αὐτοῖς Χειρίσοφον μὲν ἡγεῖσθαι καὶ διαβαίνειν ἔχοντα τὸ ἥμισυ τοῦ στρατεύματος, τὸ δ' ἥμισυ ἔτι ὑπομένειν σὺν Ξενοφῶντι, τὰ δὲ ὑποζύγια καὶ τὸν ὄχλον ἐν μέσῳ τούτων διαβαίνειν.

§ 16 - 19 Ἐπεὶ δὲ ταῦτα καλῶς εἶχεν, ἐπορεύοντο — ἡγοῦντο δ' οἱ νεανίσκοι — ἐν ἀριστερᾷ ἔχοντες τὸν ποταμόν. Ὁδὸς δ' ἦν ἐπὶ τὴν διάβασιν ὡς τέτταρες στάδιοι. Πορευομένων δ' αὐτῶν ἀντιπαρῇσαν αἱ τάξεις τῶν ἱππέων. Ἐπειδὴ δὲ ἦσαν κατὰ τὴν διάβασιν, ἔθεντο τὰ ὅπλα, καὶ αὐτὸς πρῶτος Χειρίσοφος στεφανωσάμενος καὶ ἀποδὺς ἐλάμβανε τὰ ὅπλα καὶ τοῖς ἄλλοις πᾶσι παρήγγελλε, καὶ τοὺς λοχαγοὺς ἐκέλευεν ἄγειν τοὺς λόχους ὀρθίους, τοὺς μὲν ἐν ἀριστερᾷ, τοὺς δ' ἐν δεξιᾷ ἑαυτοῦ. Καὶ οἱ μὲν μάντεις ἐσφαγιάζοντο εἰς τὸν ποταμόν· οἱ δὲ πολέμιοι ἐτόξευον καὶ ἐσφενδόνων· ἀλλ' οὔπω ἐξικνοῦντο· ἐπεὶ δὲ καλὰ ἦν τὰ σφάγια, ἐπαιάνιζον πάντες οἱ στρατιῶται καὶ ἀνηλάλαζον.

§ 20 - 22 Καὶ Χειρίσοφος μὲν ἐνέβαινεν εἰς τὸν ποταμὸν καὶ οἱ σὺν ἐκείνῳ· ὁ δὲ Ξενοφῶν τῶν ὀπισθοφυλάκων λαβὼν τοὺς εὐζωνοτάτους ἔθει ἀνὰ κράτος πάλιν ἐπὶ τὸν πόρον τὸν κατὰ τὴν ὁδὸν τὴν εἰς τὰ τῶν Ἀρμενίων ὄρη, προσποιούμενος ταύτῃ διαβὰς ἀποκλείσειν τοὺς παρὰ τὸν ποταμὸν ἱππέας. Οἱ δὲ πολέμιοι ὁρῶντες μὲν τοὺς ἀμφὶ Χειρίσοφον εὐπετῶς τὸ ὕδωρ περῶντας, ὁρῶντες δὲ τοὺς ἀμφὶ Ξενοφῶντα θέοντας εἰς τοὔμπαλιν, δείσαντες μὴ ἀποκλεισθείησαν, φεύγουσιν ἀνὰ κράτος πρὸς τὴν ἄνω τοῦ ποταμοῦ ὁδόν. Ἐπεὶ δὲ εἰς αὐτὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀφίκοντο, ἔτεινον ἄνω πρὸς τὸ ὄρος. Λύκιος δ' ὁ τὴν τάξιν ἔχων τῶν ἱππέων καὶ Αἰσχίνης ὁ τὴν τάξιν τῶν πελταστῶν τῶν ἀμφὶ Χειρίσοφον ἐπεὶ ἑώρων ἀνὰ κράτος φεύγοντας, εἵποντο· οἱ δὲ στρατιῶται ἐβόων μὴ ἀπολείπεσθαι, ἀλλὰ συναναβαίνειν ἐπὶ τὸ ὄρος.

Χειρίσοφος δ' αὖ ἐπεὶ διέβη, τοὺς μὲν ἱππέας οὐκ ἐδίωκεν, εὐθὺς δὲ ἀναβαίνων κατὰ τὰς καθηκούσας ἐπὶ τὸν ποταμὸν ὄχθας ἐπῄει ἐπὶ τοὺς ἄνω πολεμίους. Οἱ δὲ ἄνω, ὁρῶντες μὲν τοὺς ἑαυτῶν ἱππέας φεύγοντας, ὁρῶντες δ' ὁπλίτας ἑαυτοῖς ἐπιόντας, ἐκλείπουσι τὰ ὑπὲρ τοῦ ποταμοῦ ἄκρα. § 23

*[Ὁ Ξενοφῶν, ἀφοῦ εἶδεν, ὅτι τὰ πέραν τοῦ ποταμοῦ ἐξειλίσσοντο καλῶς, τρέχει πρὸς τὸ εὐκολοδιάβατον πέρασμα. Οἱ Καρδοῦχοι βλέποντες, ὅτι οἱ ὑπὸ τὸν Ξενοφῶντα ὀπισθοφύλακες εἶχον μείνει ἐντεῦθεν τοῦ ποταμοῦ καὶ ὅτι ἦσαν ὀλίγοι, ὁρμοῦν κατ' αὐτῶν· ἀλλ' ὁ Ξενοφῶν ἀποκρούει αὐτοὺς καὶ διαβαίνει καὶ αὐτὸς τὸν Κεντρίτην μὲ πληγωμένους ὀλίγους.]*

## 14. Πορεία τῶν Ἑλλήνων διὰ τῆς δυτικῆς Ἀρμενίας. Εἰρηνικὴ καὶ ἐχθρικὴ συνάντησις αὐτῶν μετὰ τοῦ ὑποδιοικητοῦ τῆς Ἀρμενίας Τιριβάζου.

( **4**, 1 - 22 )

Ἐπεὶ δὲ διέβησαν, συνταξάμενοι ἀμφὶ μέσον ἡμέρας ἐπορεύθησαν διὰ τῆς Ἀρμενίας πεδίον ἅπαν καὶ λείους γηλόφους οὐ μεῖον ἢ πέντε παρασάγγας· οὐ γὰρ ἦσαν ἐγγὺς τοῦ ποταμοῦ κῶμαι διὰ τοὺς πολέμους τοὺς πρὸς τοὺς Καρδούχους. Ἡ δὲ κώμη, εἰς ἣν ἀφίκοντο, μεγάλη τε ἦν καὶ βασίλειον εἶχε τῷ σατράπῃ καὶ ἐπὶ ταῖς πλείσταις οἰκίαις τύρσεις ἐπῆσαν· ἐπιτήδεια δ' ἦν δαψιλῆ. Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς δύο παρασάγγας δέκα, μέχρι ὑπερῆλθον τὰς πηγὰς τοῦ Τίγρητος ποταμοῦ. Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Τηλεβόαν ποταμόν. § 1 - 3

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οὗτος δ' ἦν καλὸς μέν, μέγας δ' οὔ· κῶμαι δὲ πολλαὶ περὶ τὸν ποταμὸν ἦσαν.

§ 4 - 6 Ὁ δὲ τόπος οὗτος Ἀρμενία ἐκαλεῖτο ἡ πρὸς ἑσπέραν. Ὕπαρχος δ' ἦν αὐτῆς Τιρίβαζος, ὁ καὶ βασιλεῖ φίλος ὤν, καὶ ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλεν. Οὗτος προσήλασεν ἱππέας ἔχων, καὶ προπέμψας ἑρμηνέα εἶπεν, ὅτι βούλοιτο διαλεχθῆναι τοῖς ἄρχουσι. Τοῖς δὲ στρατηγοῖς ἔδοξεν ἀκοῦσαι· καὶ προσελθόντες εἰς ἐπήκοον ἠρώτων, τί θέλει. Ὁ δὲ εἶπεν, ὅτι σπείσασθαι βούλοιτο, ἐφ' ᾧ μήτε αὐτὸς τοὺς Ἕλληνας ἀδικεῖν μήτε ἐκείνους καίειν τὰς οἰκίας, λαμβάνειν τε τἀπιτήδεια, ὅσων δέοιντο. Ἔδοξε ταῦτα τοῖς στρατηγοῖς καὶ ἐσπείσαντο ἐπὶ τούτοις.

§ 7 - 9 Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς τρεῖς διὰ πεδίου παρασάγγας πεντεκαίδεκα· καὶ Τιρίβαζος παρηκολούθει σὺν τῇ ἑαυτοῦ δυνάμει ἀπέχων ὡς δέκα σταδίους· καὶ ἀφίκοντο εἰς βασίλεια καὶ κώμας πέριξ πολλὰς πολλῶν τῶν ἐπιτηδείων μεστάς. Στρατοπεδευομένων δ' αὐτῶν γίγνεται τῆς νυκτὸς χιὼν πολλή· καὶ ἕωθεν ἔδοξε διασκηνῆσαι τὰς τάξεις καὶ τοὺς στρατηγοὺς κατὰ τὰς κώμας· οὐ γὰρ ἑώρων πολέμιον οὐδένα καὶ ἀσφαλὲς ἐδόκει εἶναι διὰ τὸ πλῆθος τῆς χιόνος. Ἐνταῦθα εἶχον, ὅσα ἐστὶν ἀγαθά, ἱερεῖα, σῖτον, οἴνους παλαιοὺς εὐώδεις, ἀσταφίδας, ὄσπρια παντοδαπά. Τῶν δὲ ἀποσκεδαννυμένων τινὲς ἀπὸ τοῦ στρατοπέδου ἔλεγον, ὅτι κατίδοιεν νύκτωρ πολλὰ πυρὰ φαίνοντα.

§ 10 - 14 Ἐδόκει δὴ τοῖς στρατηγοῖς οὐκ ἀσφαλὲς εἶναι διασκηνοῦν, ἀλλὰ συναγαγεῖν τὸ στράτευμα πάλιν. Ἐντεῦθεν συνῆλθον· καὶ γὰρ ἐδόκει διαιθριάζειν. Νυκτερευόντων δ' αὐτῶν ἐνταῦθα, ἐπιπίπτει χιὼν ἄπλετος, ὥστε ἀπέκρυψε καὶ τὰ ὅπλα καὶ τοὺς ἀνθρώπους κατακειμένους· καὶ τὰ ὑποζύγια συνεπόδισεν ἡ χιών· καὶ πολὺς ὄκνος ἦν ἀνίστασθαι· κατακειμένοις γὰρ αὐτοῖς ἀλεεινὸν ἦν ἡ χιὼν ἐπιπεπτωκυῖα, εἰ μὴ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παραρρυείη. Ἐπεὶ δὲ Ξενοφῶν ἐτόλμησε γυμνὸς ἀναστὰς σχίζειν ξύλα, τάχ' ἀναστὰς καὶ ἄλλος τις, ἐκείνου ἀφελόμενος τὴν ἀξίνην, ἔσχιζεν. Ἐκ δὲ τούτου καὶ ἄλλοι ἀναστάντες πῦρ ἔκαιον καὶ ἐχρίοντο· πολὺ γὰρ ἐνταῦθα ηὑρίσκετο χρῖμα, ᾧ ἐχρῶντο ἀντ' ἐλαίου, σύειον καὶ σησάμινον καὶ ἀμυγδάλινον καὶ τερμίνθινον. Ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ μύρον ηὑρίσκετο. Μετὰ ταῦτα ἐδόκει πάλιν διασκηνητέον εἶναι εἰς οἰκίας. Ἔνθα δὴ οἱ στρατιῶται σὺν πολλῇ κραυγῇ καὶ ἡδονῇ ᾖσαν ἐπὶ τὰς οἰκίας καὶ τὰ ἐπιτήδεια· ὅσοι δέ, ὅτε τὸ πρότερον ἀπῇσαν, τὰς οἰκίας ἐνέπρησαν ὑπὸ ἀτασθαλίας, δίκην ἐδίδοσαν κακῶς σκηνοῦντες.

Ἐντεῦθεν ἔπεμψαν νυκτὸς Δημοκράτην Τημνίτην ἄνδρας § 15 - 18
δόντες ἐπὶ τὰ ὄρη, ἔνθα ἔφασαν οἱ ἀποσκεδαννύμενοι καθορᾶν τὰ πυρά· οὗτος γὰρ ἐδόκει καὶ πρότερον πολλὰ ἤδη ἀληθεῦσαι τοιαῦτα. Πορευθεὶς δὲ τὰ μὲν πυρὰ οὐκ ἔφη ἰδεῖν, ἄνδρα δὲ συλλαβὼν ἧκεν ἄγων ἔχοντα τόξον Περσικὸν καὶ φαρέτραν καὶ σάγαριν, οἵανπερ καὶ αἱ Ἀμαζόνες ἔχουσιν. Ἐρωτώμενος δὲ ποδαπὸς εἴη, Πέρσης μὲν ἔφη εἶναι, πορεύεσθαι δ' ἀπὸ τοῦ Τιριβάζου στρατοπέδου, ὅπως ἐπιτήδεια λάβοι. Οἱ δὲ ἠρώτων αὐτὸν τὸ στράτευμα, ὁπόσον τε εἴη καὶ ἐπὶ τίνι συνειλεγμένον. Ὁ δὲ εἶπεν, ὅτι Τιρίβαζος εἴη ἔχων τήν τε ἑαυτοῦ δύναμιν καὶ μισθοφόρους Χάλυβας καὶ Ταόχους· παρεσκευάσθαι δὲ αὐτὸν ἔφη ὡς ἐπιθησόμενον τοῖς Ἕλλησιν ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους ἐν τοῖς στενοῖς, ᾗπερ μοναχῇ εἴη πορεία.

Ἀκούσασι τοῖς στρατηγοῖς ταῦτα ἔδοξε τὸ στράτευμα § 19 - 22
συναγαγεῖν· καὶ εὐθὺς φύλακας ἐν τῷ στρατοπέδῳ καταλιπόντες καὶ στρατηγὸν ἐπὶ τοῖς μένουσι Σοφαίνετον Στυμφάλιον ἐπορεύοντο ἔχοντες ἡγεμόνα τὸν ἁλόντα ἄνθρωπον. Ἐπειδὴ δὲ ὑπερέβαλλον τὰ ὄρη, οἱ πελτασταὶ προϊόντες καὶ κατιδόντες τὸ στρατόπεδον τῶν πολεμίων οὐκ ἔμειναν τοὺς ὁπλίτας,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλ' ἀνακραγόντες ἔθεον ἐπὶ τὸ στρατόπεδον. Οἱ δὲ βάρβαροι ἀκούσαντες τὸν θόρυβον οὐχ ὑπέμειναν, ἀλλ' ἔφευγον· ὅμως δὲ καὶ ἀπέθανόν τινες τῶν βαρβάρων καὶ ἵπποι ἑάλωσαν εἰς εἴκοσι καὶ ἡ σκηνὴ ἡ Τιριβάζου ἑάλω καὶ ἐν αὐτῇ κλῖναι ἀργυρόποδες καὶ ἐκπώματα καὶ οἱ φάσκοντες εἶναι ἀρτοκόποι καὶ οἰνοχόοι. Ἐπειδὴ δὲ ἐπύθοντο ταῦτα οἱ τῶν ὁπλιτῶν στρατηγοί, ἐδόκει αὐτοῖς ἀπιέναι τὴν ταχίστην ἐπὶ τὸ στρατόπεδον, μή τις ἐπίθεσις γένοιτο τοῖς καταλελειμμένοις. Καὶ εὐθὺς ἀνακαλεσάμενοι τῇ σάλπιγγι ἀπῆσαν καὶ ἀφίκοντο αὐθημερὸν εἰς τὸ στρατόπεδον.

### 15. α) Κακουχίαι τῶν Ἑλλήνων κατὰ τὴν πορείαν αὐτῶν διὰ τῆς Ἀρμενίας.

( **5**, 1 - 22 )

§ 1 - 2 Τῇ δ' ὑστεραίᾳ ἐδόκει πορευτέον εἶναι, ὅπῃ δύναιντο τάχιστα, πρὶν συλλεγῆναι τὸ στράτευμα τῶν πολεμίων πάλιν καὶ καταλαβεῖν τὰ στενά. Συσκευασάμενοι δ' εὐθὺς ἐπορεύοντο διὰ χιόνος πολλῆς ἡγεμόνας ἔχοντες πολλούς· καὶ αὐθημερὸν ὑπερβαλόντες τὸ ἄκρον, ἐφ' ᾧ ἔμελλεν ἐπιτίθεσθαι Τιρίβαζος, κατεστρατοπεδεύσαντο. Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμὸν καὶ διέβαινον αὐτὸν βρεχόμενοι πρὸς τὸν ὀμφαλόν. Ἐλέγοντο δ' οὐδ' αἱ πηγαὶ πρόσω εἶναι.

§ 3 - 6 Ἐντεῦθεν ἐπορεύοντο διὰ χιόνος πολλῆς καὶ πεδίου σταθμοὺς τρεῖς παρασάγγας δέκα. Ὁ δὲ τρίτος σταθμὸς ἐγένετο χαλεπός, καὶ ἄνεμος βορρᾶς ἐναντίος ἔπνει παντάπασιν ἀποκαίων πάντα καὶ πηγνὺς τοὺς ἀνθρώπους. Ἔνθα δὴ τῶν μάντεων τις εἶπε σφαγιάσασθαι τῷ ἀνέμῳ, καὶ σφαγιάζεται· καὶ πᾶσι δὴ περιφανῶς ἔδοξε λῆξαι τὸ χαλεπὸν τοῦ πνεύματος. Ἦν δὲ τῆς χιόνος τὸ βάθος ὀργυιά· ὥστε καὶ τῶν ὑποζυγίων καὶ τῶν ἀνδραπόδων πολλὰ ἀπώλετο καὶ τῶν στρα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τιωτῶν ὡς τριάκοντα. Διεγένοντο δὲ τὴν νύκτα πῦρ καίοντες· ξύλα δ᾿ ἦν ἐν τῷ σταθμῷ πολλά· οἱ δὲ ὀψὲ προσιόντες ξύλα οὐκ εἶχον. Οἱ οὖν πάλαι ἥκοντες καὶ πῦρ καίοντες οὐ προσίεσαν πρὸς τὸ πῦρ τοὺς ὀψίζοντας, εἰ μὴ μεταδοῖεν αὐτοῖς πυροὺς ἢ ἄλλο εἴ τι ἔχοιεν βρωτόν. Ἔνθα δὴ μετεδίδοσαν ἀλλήλοις, ὧν εἶχον ἕκαστοι. Ἔνθα δὲ τὸ πῦρ ἐκαίετο, διατηκομένης τῆς χιόνος, βόθροι ἐγίγνοντο μεγάλοι ἕως ἐπὶ τὸ δάπεδον· καὶ ἐνταῦθα δὴ ἐξῆν μετρεῖν τὸ βάθος τῆς χιόνος.

Ἐντεῦθεν δὲ τὴν ἐπιοῦσαν ἡμέραν ὅλην ἐπορεύοντο διὰ § 7 - 8
χιόνος, καὶ πολλοὶ τῶν ἀνθρώπων ἐβουλιμίασαν. Ξενοφῶν δ᾿ ὀπισθοφυλακῶν καὶ καταλαμβάνων τοὺς πίπτοντας τῶν ἀνθρώπων ἠγνόει, ὅ,τι τὸ πάθος εἴη. Ἐπειδὴ δὲ εἶπέ τις αὐτῷ τῶν ἐμπείρων, ὅτι σαφῶς βουλιμιῶσι, κἄν τι φάγωσιν, ἀναστήσονται, περιιὼν περὶ τὰ ὑποζύγια, εἴ πού τι ὁρῴη βρωτόν, διεδίδου τοῖς βουλιμιῶσιν. Ἐπειδὴ δέ τι ἐμφάγοιεν, ἀνίσταντο καὶ ἐπορεύοντο.

Πορευομένων δὲ Χειρίσοφος μὲν ἀμφὶ κνέφας πρὸς § 9 - 11
κώμην ἀφικνεῖται καὶ πρὸς τῇ κρήνῃ ἔμπροσθεν τοῦ ἐρύματος καταλαμβάνει γυναῖκας καὶ κόρας τῆς κώμης ὑδροφορούσας. Αὗται ἠρώτων αὐτούς, τίνες εἶεν. Ὁ δ᾿ ἑρμηνεὺς εἶπε περσιστί, ὅτι παρὰ βασιλέως πορεύονται πρὸς τὸν σατράπην. Αἱ δὲ ἀπεκρίναντο, ὅτι οὐκ ἐνταῦθα εἴη, ἀλλ᾿ ἀπέχει ὅσον παρασάγγην. Οἱ δ᾿, ἐπεὶ ὀψὲ ἦν, πρὸς τὸν κωμάρχην συνεισέρχονται εἰς τὴν κώμην σὺν ταῖς ὑδροφόροις. Χειρίσοφος μὲν οὖν καὶ ὅσοι ἐδυνήθησαν τοῦ στρατεύματος ἐνταῦθα ἐστρατοπεδεύσαντο, τῶν δ᾿ ἄλλων στρατιωτῶν οἱ μὴ δυνάμενοι διατελέσαι τὴν ὁδὸν ἐνυκτέρευσαν ἄσιτοι καὶ ἄνευ πυρός· καὶ ἐνταῦθά τινες ἀπώλοντο τῶν στρατιωτῶν.

Ἐφείποντο δὲ τῶν πολεμίων συνειλεγμένοι τινὲς καὶ τὰ § 12 - 14
μὴ δυνάμενα τῶν ὑποζυγίων πορεύεσθαι ἥρπαζον καὶ ἀλλήλοις ἐμάχοντο περὶ αὐτῶν. Ἐλείποντο δὲ τῶν στρατιωτῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἵ τε διεφθαρμένοι ὑπὸ τῆς χιόνος τοὺς ὀφθαλμοὺς οἵ τε ὑπὸ τοῦ ψύχους τοὺς δακτύλους τῶν ποδῶν ἀποσεσηπότες. Ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος, εἴ τις μέλαν τι ἔχων πρὸ τῶν ὀφθαλμῶν ἐπορεύετο, τοῖς δὲ ποσίν, εἴ τις κινοῖτο καὶ μηδέποτε ἡσυχίαν ἔχοι καὶ εἰς τὴν νύκτα ὑπολύοιτο· ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο εἰς τοὺς πόδας οἱ ἱμάντες καὶ τὰ ὑποδήματα περιεπήγνυντο· καὶ γὰρ ἦσαν, ἐπειδὴ ἐπέλιπε τὰ ἀρχαῖα ὑποδήματα, καρβάτιναι πεποιημέναι ἐκ τῶν νεοδάρτων βοῶν.

§ 15 - 16 Διὰ τὰς τοιαύτας οὖν ἀνάγκας ὑπελείποντό τινες τῶν στρατιωτῶν· καὶ ἰδόντες μέλαν τι χωρίον διὰ τὸ ἐκλελοιπέναι αὐτόθι τὴν χιόνα εἴκαζον τετηκέναι· καὶ ἐτετήκει διὰ κρήνην τινά, ἣ πλησίον ἠτμιζεν ἐν νάπῃ. Ἐνταῦθ' ἐκτραπόμενοι ἐκάθηντο καὶ οὐκ ἔφασαν πορεύεσθαι. Ὁ δὲ Ξενοφῶν ἔχων τοὺς ὀπισθοφύλακας, ὡς ᾔσθετο, ἐδεῖτο αὐτῶν πάσῃ τέχνῃ καὶ μηχανῇ μὴ ὑπολείπεσθαι λέγων, ὅτι ἕπονται πολλοὶ πολέμιοι συνειλεγμένοι, καὶ τελευτῶν ἐχαλέπαινεν. Οἱ δὲ σφάττειν ἑαυτοὺς ἐκέλευον· οὐ γὰρ ἂν δύνασθαι πορευθῆναι.

§ 17 - 18 Ἐνταῦθα ἔδοξε κράτιστον εἶναι τοὺς ἑπομένους πολεμίους φοβῆσαι, εἴ τις δύναιτο, ἵνα μὴ ἐπίοιεν τοῖς κάμνουσι. Καὶ ἦν μὲν σκότος ἤδη, οἱ δὲ προσῆσαν πολλῷ θορύβῳ περὶ ὧν ἥρπασαν διαφερόμενοι. Ἔνθα δὴ οἱ ὀπισθοφύλακες, ἅτε ὑγιαίνοντες, ἐξαναστάντες ἔδραμον ἐπὶ τοὺς πολεμίους· οἱ δὲ κάμνοντες ἀνακραγόντες, ὅσον ἐδύναντο μέγιστον, τὰς ἀσπίδας πρὸς τὰ δόρατα ἔκρουσαν. Οἱ δὲ πολέμιοι δείσαντες ἧκαν ἑαυτοὺς κατὰ τῆς χιόνος εἰς τὴν νάπην καὶ οὐδεὶς ἔτι οὐδαμοῦ ἐφθέγξατο.

§ 19 - 20 Καὶ Ξενοφῶν μὲν καὶ οἱ σὺν αὐτῷ εἰπόντες τοῖς ἀσθενοῦσιν, ὅτι τῇ ὑστεραίᾳ ἥξουσί τινες ἐπ' αὐτούς, πορευόμενοι, πρὶν τέτταρα στάδια διελθεῖν, ἐντυγχάνουσιν ἐν τῇ ὁδῷ ἀναπαυομένοις ἐπὶ τῆς χιόνος τοῖς στρατιώταις ἐγκεκαλυμμέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νοις, καὶ οὐδὲ φυλακὴ οὐδεμία καθειστήκει· καὶ ἀνίστασαν αὐτούς. Οἱ δ' ἔλεγον, ὅτι οἱ ἔμπροσθεν οὐ προΐοιεν. Ὁ δὲ παριὼν καὶ παραπέμπων τῶν πελταστῶν τοὺς ἰσχυροτάτους ἐκέλευε σκέψασθαι, τί εἴη τὸ κωλῦον. Οἱ δὲ ἀπήγγελλον, ὅτι ὅλον οὕτως ἀναπαύοιτο τὸ στράτευμα. Ἐνταῦθα καὶ οἱ περὶ Ξενοφῶντα ηὐλίσθησαν αὐτοῦ ἄνευ πυρὸς καὶ ἄδειπνοι, φυλακὰς οἵας ἐδύναντο καταστησάμενοι.

Ἐπεὶ δὲ πρὸς ἡμέραν ἦν, ὁ μὲν Ξενοφῶν, πέμψας πρὸς § 21 - 22
τοὺς ἀσθενοῦντας τοὺς νεωτάτους, ἀναστήσαντας ἐκέλευεν ἀναγκάζειν προϊέναι. Ἐν δὲ τούτῳ Χειρίσοφος πέμπει τῶν ἐκ τῆς κώμης σκεψομένους, πῶς ἔχοιεν οἱ τελευταῖοι. Οἱ δὲ ἄσμενοι ἰδόντες τοὺς μὲν ἀσθενοῦντας τούτοις παρέδοσαν κομίζειν ἐπὶ τὸ στρατόπεδον, αὐτοὶ δὲ ἐπορεύοντο, καί, πρὶν εἴκοσι στάδια διεληλυθέναι, ἦσαν πρὸς τῇ κώμῃ, ἔνθα Χειρίσοφος ηὐλίζετο.

### β) Αἱ μετὰ τὰς κακουχίας ἡμέραι ἀναψυχῆς τῶν Ἑλλήνων εἰς τὰς κώμας τῆς Ἀρμενίας.
### ( **5**, 23 - 36 )

Ἐπεὶ δὲ συνεγένοντο ἀλλήλοις, ἔδοξε κατὰ τὰς κώμας § 23 - 24
ἀσφαλὲς εἶναι τὰς τάξεις σκηνοῦν. Καὶ Χειρίσοφος μὲν αὐτοῦ ἔμενεν, οἱ δὲ ἄλλοι διαλαχόντες, ἃς ἑώρων κώμας, ἐπορεύοντο ἕκαστοι τοὺς ἑαυτῶν ἔχοντες. Ἔνθα δὴ Πολυκράτης Ἀθηναῖος λοχαγὸς ἐκέλευσεν ἀφιέναι ἑαυτόν· καὶ λαβὼν τοὺς εὐζώνους, θέων ἐπὶ τὴν κώμην, ἣν εἰλήχει Ξενοφῶν, καταλαμβάνει πάντας ἔνδον τοὺς κωμήτας καὶ τὸν κωμάρχην καὶ πώλους εἰς δασμὸν βασιλεῖ τρεφομένους ἑπτακαίδεκα καὶ τὴν θυγατέρα τοῦ κωμάρχου ἐνάτην ἡμέραν ἐκδεδομένην· ὁ δ' ἀνὴρ αὐτῆς λαγὼς ᾤχετο θηράσων καὶ οὐχ ἑάλω ἐν τῇ κώμῃ.

Αἱ δ' οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα ὥσπερ φρέα- § 25 - 27
τος, κάτω δ' εὐρεῖαι· αἱ δὲ εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κταί, οἱ δὲ ἄνθρωποι κατέβαινον ἐπὶ κλίμακος. Ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἶες, βόες, ὄρνιθες καὶ τὰ ἔκγονα τούτων· τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφοντο. Ἦσαν δὲ καὶ πυροὶ καὶ κριθαὶ καὶ ὄσπρια καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν. Ἐνῆσαν δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς καὶ κάλαμοι ἐνέκειντο, οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους, γόνατα οὐκ ἔχοντες· τούτους ἔδει, ὁπότε τις διψῴη, λαβόντα εἰς τὸ στόμα μύζειν. Καὶ πάνυ ἄκρατος ἦν ὁ κρίθινος οἶνος, εἰ μή τις ὕδωρ ἐπιχέοι· καὶ πάνυ ἡδὺ τῷ συμμαθόντι τὸ πῶμα ἦν.

§ 28 - 29 Ὁ δὲ Ξενοφῶν τὸν ἄρχοντα τῆς κώμης ταύτης σύνδειπνον ἐποιήσατο καὶ θαρρεῖν αὐτὸν ἐκέλευε λέγων, ὅτι οὔτε τῶν τέκνων στερήσοιτο τήν τε οἰκίαν αὐτοῦ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων ἀπίασιν, ἢν ἀγαθόν τι τῷ στρατεύματι ἐξηγησάμενος φαίνηται, ἕως ἂν ἐν ἄλλῳ ἔθνει γένωνται. Ὁ δὲ ταῦτα ὑπισχνεῖτο καὶ φιλοφρονούμενος οἶνον ἔφρασεν, ἔνθα ἦν κατορωρυγμένος. Ταύτην μὲν οὖν τὴν νύκτα διασκηνήσαντες κατὰ τὰς κώμας οὕτως ἐκοιμήθησαν ἐν πᾶσιν ἀφθόνοις πάντες οἱ στρατιῶται, ἐν φυλακῇ ἔχοντες τὸν κωμάρχην καὶ τὰ τέκνα αὐτοῦ ὁμοῦ ἐν ὀφθαλμοῖς.

§ 30 - 32 Τῇ δ' ἐπιούσῃ ἡμέρᾳ Ξενοφῶν λαβὼν τὸν κωμάρχην πρὸς Χειρίσοφον ἐπορεύετο· ὅπου δὲ παρίοι κώμην, ἐτρέπετο πρὸς τοὺς ἐν ταῖς κώμαις καὶ κατελάμβανε πανταχοῦ εὐωχουμένους καὶ εὐθυμουμένους καὶ οὐδαμόθεν ἀφίεσαν, πρὶν παραθεῖναι αὐτοῖς ἄριστον· πανταχοῦ δὲ παρετίθεσαν ἐπὶ τὴν αὐτὴν τράπεζαν κρέα ἄρνεια, ἐρίφεια, χοίρεια, μόσχεια, ὀρνίθεια σὺν πολλοῖς ἄρτοις τοῖς μὲν πυρίνοις, τοῖς δὲ κριθίνοις. Ὁπότε δέ τις φιλοφρονούμενός τῳ βούλοιτο προπιεῖν, εἷλκεν ἐπὶ τὸν κρατῆρα, ἔνθεν ἐπικύψαντα ἔδει ῥοφοῦντα πίνειν ὥσπερ βοῦς. Καὶ τῷ κωμάρχῃ ἐδίδοσαν λαμβάνειν, ὅ,τι βούλοιτο. Ὁ δὲ ἄλλο μὲν οὐδὲν ἐδέχετο, ὅπου δέ τινα τῶν συγγενῶν ἴδοι, πρὸς ἑαυτὸν ἀεὶ ἐλάμβανεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐπεὶ δ' ἦλθον πρὸς Χειρίσοφον, κατελάμβανον κἀκείνους σκηνοῦντας ἐστεφανωμένους τοῦ ξηροῦ χιλοῦ στεφάνοις καὶ διακονοῦντας Ἀρμενίους παῖδας σὺν ταῖς βαρβαρικαῖς στολαῖς· τοῖς δὲ παισὶν ἐδείκνυσαν ὥσπερ ἐνεοῖς, ὅ,τι δέοι ποιεῖν. Ἐπεὶ δ' ἀλλήλους ἐφιλοφρονήσαντο Χειρίσοφος καὶ Ξενοφῶν, κοινῇ δὴ ἀνηρώτων τὸν κωμάρχην διὰ τοῦ περσίζοντος ἑρμηνέως, τίς εἴη ἡ χώρα. Ὁ δ' ἔλεγεν, ὅτι Ἀρμενία. Καὶ πάλιν ἠρώτων, τίνι οἱ ἵπποι τρέφονται. Ὁ δ' ἔλεγεν, ὅτι βασιλεῖ δασμός· τὴν δὲ πλησίον χώραν ἔφη εἶναι τὴν τῶν Χαλύβων καὶ τὴν ὁδὸν ἔφραζεν, ᾗ εἴη. § 33 - 34

Καὶ αὐτὸν τότε μὲν ᾤχετο ἄγων Ξενοφῶν πρὸς τοὺς ἑαυτοῦ οἰκέτας καὶ ἵππον, ὃν εἰλήφει, παλαίτερον δίδωσι τῷ κωμάρχῃ ἀναθρέψαντι καταθῦσαι, ὅτι ἤκουεν αὐτὸν ἱερὸν εἶναι τοῦ Ἡλίου, δεδιὼς μὴ ἀποθάνῃ· ἐκεκάκωτο γὰρ ὑπὸ τῆς πορείας· αὐτὸς δὲ τῶν πώλων λαμβάνει καὶ τῶν ἄλλων λοχαγῶν ἔδωκεν ἑκάστῳ πῶλον. Ἦσαν δ' οἱ ταύτῃ ἵπποι μείονες μὲν τῶν Περσικῶν, θυμοειδέστεροι δὲ πολύ. Ἐνταῦθα δὴ καὶ διδάσκει ὁ κωμάρχης περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν ὑποζυγίων σακία περιτιθέναι, ὅταν διὰ τῆς χιόνος ἄγωσιν· ἄνευ γὰρ τῶν σακίων κατεδύοντο μέχρι τῆς γαστρός. § 35 - 36

*[ Ἀφοῦ διέμειναν οἱ Ἕλληνες ἑπτὰ ἡμέρας εἰς τὰς κώμας τῆς δυτικῆς Ἀρμενίας, ἐξακολουθοῦν τὴν πορείαν των διὰ μέσου ὀρεινῆς χιονοσκεποῦς χώρας ἔχοντες ὁδηγὸν τὸν κωμάρχην καὶ διευθυνόμενοι ἐπὶ τρεῖς ἡμέρας πρὸς τὰ ΒΑ· τὴν δὲ τρίτην ἡμέραν ὁ Χειρίσοφος ἐξοργισθεὶς κατὰ τοῦ κωμάρχου, διότι δὲν τοὺς ὡδήγησεν εἰς κώμας, τὸν κακοποιεῖ· διὰ τοῦτο οὗτος δραπετεύει τὴν νύκτα.*

*Μετὰ ταῦτα οἱ Ἕλληνες ἄνευ ὁδηγοῦ βαδίζοντες ἐπὶ ἑπτὰ ἡμέρας φθάνουν εἰς τὸν Φᾶσιν ποταμόν· τοῦτον ἀφοῦ διέβησαν, μετὰ πορείαν δύο ἡμερῶν εὑρίσκονται ἐνώπιον ὄρους καὶ βλέπουν, ὅτι Χάλυβες καὶ Τάοχοι καὶ Φασιανοὶ κατεῖχον τὴν διάβασιν αὐτοῦ. Οἱ Ἕλληνες μετὰ τολμηρὰς καὶ ἐπιπόνους ἐπιθέσεις τρέπουν αὐτοὺς εἰς φυ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*γὴν καὶ ἀφοῦ ὑπερέβησαν τὸ ὄρος καταβαίνουν εἰς κώμας γεμάτας ἀπὸ πολλὰ τρόφιμα.*

*Μετὰ ταῦτα οἱ Ἕλληνες εἰσέρχονται εἰς τὴν χώραν τῶν Ταόχων. Πορευόμενοι δὲ ἐπὶ πέντε ἡμέρας κατηνάλωσαν τὰ τρόφιμα καὶ δὲν ἠδύναντο νὰ πορισθοῦν ἄλλα· διότι οἱ Τάοχοι συσσωρεύσαντες αὐτὰ εἰς χωρία ὀχυρὰ οὐδὲν παρεῖχον. Διὰ τοῦτο οἱ Ἕλληνες ἀναγκάζονται νὰ ἐπιτεθοῦν κατά τινος τοιούτου χωρίου· κατορθώνουν δὲ μετὰ ἐπίμονον ἀγῶνα νὰ κυριεύσουν αὐτό.*

*Μετὰ ταῦτα διέρχονται ἐπὶ ἑπτὰ ἡμέρας τὴν χώραν τῶν Χαλύβων, λαοῦ γενναιοτάτου, καὶ φθάνουν εἰς τὸν ποταμὸν Ἅρπασον· τοῦτον ἀφοῦ διέβησαν, πορεύονται διὰ μέσου τῆς χώρας τῶν Σκυθηνῶν ἐπὶ τέσσαρας ἡμέρας καὶ φθάνουν εἰς κώμας, ἀπὸ τὰς ὁποίας ἐπρομηθεύθησαν τροφάς· μετὰ πορείαν ἄλλων τεσσάρων ἡμερῶν φθάνουν εἰς τὴν πόλιν Γυμνιάδα.]*

## 16. Ἄφιξις τῶν Ἑλλήνων εἰς τὸ ὄρος Θήχην καὶ ἡ ἐξ αὐτοῦ θέα τῆς θαλάσσης.

( **7**, 19 - 27 )

§ 19 - 20 Ὁ δὲ ταύτης ἄρχων τοῖς Ἕλλησιν ἡγεμόνα πέμπει, ὅπως διὰ τῆς ἑαυτῶν πολεμίας χώρας ἄγοι αὐτούς. Ἐλθὼν δ᾽ ἐκεῖνος λέγει, ὅτι ἄξει αὐτοὺς πέντε ἡμερῶν εἰς ὄρος, ὅθεν ὄψονται θάλατταν· εἰ δὲ μή, τεθνάναι ἐπηγγείλατο. Καὶ ἡγούμενος, ἐπειδὴ ἐνέβαλλεν εἰς τὴν πολεμίαν, παρεκελεύετο καίειν καὶ φθείρειν τὴν χώραν· ᾧ καὶ δῆλον ἐγένετο, ὅτι τούτου ἕνεκεν ἔλθοι, οὐ τῆς τῶν Ἑλλήνων εὐνοίας.

§ 21 - 24 Καὶ ἀφικνοῦνται ἐπὶ τὸ ὄρος τῇ πέμπτῃ ἡμέρᾳ· ὄνομα δὲ τῷ ὄρει ἦν Θήχης. Ἐπεὶ δὲ οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους, κραυγὴ πολλὴ ἐγένετο. Ἀκούσαντες δὲ Ξενοφῶν καὶ οἱ ὀπισθοφύλακες ᾠήθησαν ἔμπροσθεν ἄλλους ἐπιτίθεσθαι πολεμίους· εἵποντο γὰρ ὄπισθεν οἱ ἐκ τῆς καιομένης χώρας καὶ αὐτῶν οἱ ὀπισθοφύλακες ἀπέκτεινάν τέ τινας καὶ ἐζώγρησαν ἐνέδραν ποιησάμενοι καὶ γέρρα ἔλαβον ὠμοβόεια ἀμφὶ τὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἴκοσιν. Ἐπειδὴ δ' ἡ βοὴ πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον καὶ οἱ ἀεὶ ἐπιόντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας καὶ πολλῷ μείζων ἐγίγνετο ἡ βοή, ὅσῳ δὴ πλείους ἐγίγνοντο, ἐδόκει δὴ μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι, καὶ ἀναβὰς ἐφ' ἵππον καὶ Λύκιον καὶ τοὺς ἱππέας ἀναλαβὼν παρεβοήθει· καὶ τάχα δὴ ἀκούουσι βοώντων τῶν στρατιωτῶν « θάλαττα, θάλαττα » καὶ παρεγγυώντων. Ἔνθα δὴ ἔθεον πάντες καὶ οἱ ὀπισθοφύλακες καὶ τὰ ὑποζύγια ἠλαύνετο καὶ οἱ ἵπποι.

Ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ τὸ ἄκρον, ἐνταῦθα δὴ πε- § 25 - 27
ριέβαλλον ἀλλήλους καὶ στρατηγοὺς καὶ λοχαγοὺς δακρύοντες. Καὶ ἐξαίφνης, παρεγγυήσαντός τινος, οἱ στρατιῶται φέρουσι λίθους καὶ ποιοῦσι κολωνὸν μέγαν. Ἐνταῦθα ἀνετίθεσαν δερμάτων πλῆθος ὠμοβοείων καὶ βακτηρίας καὶ τὰ αἰχμάλωτα γέρρα, καὶ ὁ ἡγεμὼν αὐτός τε κατέτεμνε τὰ γέρρα καὶ τοῖς ἄλλοις διεκελεύετο. Μετὰ ταῦτα τὸν ἡγεμόνα οἱ Ἕλληνες ἀποπέμπουσι δῶρα δόντες ἀπὸ κοινοῦ ἵππον καὶ φιάλην ἀργυρᾶν καὶ σκευὴν Περσικὴν καὶ δαρεικοὺς δέκα· ᾔτει δὲ μάλιστα τοὺς δακτυλίους, καὶ ἔλαβε πολλοὺς παρὰ τῶν στρατιωτῶν. Κώμην δὲ δείξας αὐτοῖς, οὗ σκηνήσουσι, καὶ τὴν ὁδόν, ἣν πορεύσονται εἰς Μάκρωνας, ἐπεὶ ἑσπέρα ἐγένετο, ᾤχετο ἀπιών.

*[ Ἀφοῦ κατέβησαν οἱ Ἕλληνες ἀπὸ τὸ ὄρος Θήχην, πορεύονται διὰ μέσου τῆς χώρας τῶν Μακρώνων· ἐδῶ ἀπαντοῦν χωρίον δυσκολοδιάβατον καὶ ποταμὸν μὲ τὰς ὄχθας του καταφύτους ἀπὸ δένδρα. Τοῦτον ἐπιχειροῦν νὰ διαβοῦν, ἀλλὰ δὲν τὸ κατορθώνουν· διότι οἱ Μάκρωνες παρατεταγμένοι εἰς τὴν ἀπέναντι ὄχθην ἐμποδίζουν τὴν διάβασιν μὲ λίθους, τοὺς ὁποίους ἔρριπτον κατ' αὐτῶν.*

*Εἰς τὴν δύσκολον αὐτὴν περίστασιν προσέρχεται εἰς τὸν Ξενοφῶντα κάποιος στρατιώτης πελταστής, ὁ ὁποῖος ἄλλοτε, καθὼς ἔλεγεν, ὑπηρέτει ὡς δοῦλος εἰς τὰς Ἀθήνας καὶ ὁ ὁποῖος ἐβεβαίωνεν, ὅτι ἐγνώριζε τὴν γλῶσσαν τῶν ἀνθρώπων τούτων. Διὰ τῆς μεσιτείας αὐτοῦ οἱ Ἕλληνες συνάπτουν συνθήκας μὲ τοὺς Μάκρωνας.*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Μετὰ ταῦτα οἱ Μάκρωνες διευκολύνουν τὴν διάβασιν τῶν Ἑλλήνων καὶ ἐπὶ τρεῖς ἡμέρας τοὺς συνοδεύουν, ἕως ὅτου τοὺς φέρουν εἰς τὰ ὅρια τῶν Κόλχων· ἐδῶ εὑρίσκουν μέγα ὄρος καὶ τοὺς Κόλχους παρατεταγμένους ἐπ' αὐτοῦ. Μετὰ τολμηρὰν ἐπίθεσιν τρέπουν καὶ αὐτοὺς εἰς φυγήν· ἀφοῦ δὲ ἀνέβησαν εἰς τὸ ὄρος, κατασκηνοῦν εἰς κώμας, αἱ ὁποῖαι εἶχον ἄφθονα τὰ τρόφιμα.]*

## 17. Ἄφιξις τῶν Ἑλλήνων εἰς Τραπεζοῦντα.
( **8**, 22 - 28 )

§ 22 - 24 Ἐντεῦθεν δ' ἐπορεύθησαν δύο σταθμοὺς παρασάγγας ἑπτὰ καὶ ἦλθον ἐπὶ θάλατταν εἰς Τραπεζοῦντα, πόλιν Ἑλληνίδα οἰκουμένην παρὰ τὸν Εὔξεινον Πόντον, Σινωπέων ἀποικίαν ἐν τῇ Κόλχων χώρᾳ. Ἐνταῦθα ἔμειναν ἡμέρας ἀμφὶ τὰς τριάκοντα ἐν τοῖς τῶν Κόλχων κώμαις· κἀντεῦθεν ὁρμώμενοι ἐλῄζοντο τὴν Κολχίδα. Ἀγορὰν δὲ παρεῖχον τῷ στρατοπέδῳ Τραπεζούντιοι καὶ ἐδέξαντό τε τοὺς Ἕλληνας καὶ ξένια ἔδοσαν βοῦς καὶ ἄλφιτα καὶ οἶνον. Συνδιεπράττοντο δὲ καὶ ὑπὲρ τῶν πλησίον Κόλχων τῶν ἐν τῷ πεδίῳ μάλιστα οἰκούντων καὶ ξένια καὶ παρ' ἐκείνων ἦλθον βόες.

§ 25 - 26 Μετὰ δὲ τοῦτο τὴν θυσίαν, ἣν ηὔξαντο, παρεσκευάζοντο· ἦλθον δ' αὐτοῖς ἱκανοὶ βόες ἀποθῦσαι τῷ Διὶ σωτήρια καὶ τῷ Ἡρακλεῖ ἡγεμόσυνα καὶ τοῖς ἄλλοις θεοῖς, ἃ ηὔξαντο. Ἐποίησαν δὲ καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ὄρει, ἔνθαπερ ἐσκήνουν. Εἵλοντο δὲ Δρακόντιον Σπαρτιάτην δρόμου τ' ἐπιμεληθῆναι καὶ τοῦ ἀγῶνος προστατῆσαι. Ἐπειδὴ δὲ ἡ θυσία ἐγένετο, τὰ δέρματα παρέδοσαν τῷ Δρακοντίῳ καὶ ἡγεῖσθαι ἐκέλευον, ὅπου τὸν δρόμον πεποιηκὼς εἴη. Ὁ δὲ δείξας, οὗπερ ἑστηκότες ἐτύγχανον, « Οὗτος ὁ λόφος », ἔφη, « κάλλιστος τρέχειν, ὅπου ἄν τις βούληται ». « Πῶς οὖν », ἔφασαν, « δυνήσονται παλαίειν ἐν οὕτω σκληρῷ καὶ δασεῖ ; » Ὁ δ' εἶπε· « Μᾶλλόν τι ἀνιάσεται ὁ καταπεσών ».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



Θάλαττα! Θάλαττα!
( Οἱ στρατιῶται τοῦ Ξενοφῶντος βλέποντες τὸν Πόντον )

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 27 - 28 Ἠγωνίζοντο δὲ στάδιον μὲν παῖδες τῶν αἰχμαλώτων οἱ πλεῖστοι, δόλιχον δὲ Κρῆτες πλείους ἢ ἑξήκοντα, πάλην δὲ καὶ πυγμὴν καὶ παγκράτιον ἕτεροι· καὶ καλὴ θέα ἐγένετο· πολλοὶ γὰρ κατέβησαν καί, ἅτε θεωμένων τῶν ἑταίρων, πολλὴ φιλονικία ἐγίγνετο. Ἔθεον δὲ καὶ ἵπποι· καὶ ἔδει τοὺς ἱππέας κατὰ τοῦ πρανοῦς ἐλάσαντας καὶ παρὰ τὴν θάλατταν ὑποστρέψαντας πάλιν ἄνω πρὸς τὸν βωμὸν ἄγειν τοὺς ἵππους. Καὶ κάτω μὲν οἱ πολλοὶ ἐκυλινδοῦντο· ἄνω δὲ πρὸς τὸ ἰσχυρῶς ὄρθιον μόλις βάδην ἐπορεύοντο οἱ ἵπποι· ἔνθα πολλὴ κραυγὴ καὶ γέλως καὶ παρακέλευσις ἐγίγνετο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ

## ΑΠΟ ΤΗΝ ΤΡΑΠΕΖΟΥΝΤΑ ΕΩΣ ΤΑ ΚΟΤΥΩΡΑ

**( Μάρτιος - Μάϊος τοῦ 400 π. Χ. )**

*[ Μετὰ τὰς θυσίας καὶ τοὺς ἀγῶνας οἱ Ἕλληνες συνελθόντες συσκέπτονται περὶ τῆς λοιπῆς πορείας τοῦ στρατεύματος· κατὰ τὴν σύσκεψιν αὐτὴν ἀποφασίζεται νὰ ἐπιστρέψουν εἰς τὴν Ἑλλάδα διὰ θαλάσσης καὶ ἀποστέλλεται ὁ Χειρίσοφος πρὸς τὸν ἐν Βυζαντίῳ ναύαρχον τῶν Λακεδαιμονίων Ἀναξίβιον, διὰ νὰ προμηθεύσῃ μεταγωγικὰ πλοῖα. Ἀλλὰ μέχρις ὅτου ταῦτα ἔλθουν, συμβουλεύει ὁ Ξενοφῶν νὰ λάβουν μέτρα, πῶς νὰ προμηθεύωνται τρόφιμα ἐκ τῆς πολεμίας χώρας καὶ πῶς νὰ γίνωνται ἀσφαλῶς αἱ τοιαῦται ἐκδρομαί, προσέτι δὲ πῶς νὰ ἐξασφαλίσουν τὸ στρατόπεδον ἀπὸ ἐνδεχομένης ἐπιθέσεως τῶν πολεμίων. Ἂν δὲ τυχὸν ὁ Χειρίσοφος ἔλθῃ χωρὶς πλοῖα, συμβουλεύει νὰ παρασκευάσουν ἀπὸ ἐδῶ ἀρκετὰ πλοῖα μεταγωγικά. Ἐν ἀποτυχίᾳ δὲ τούτου προτείνει νὰ παραγγείλουν εἰς τὰς παραλιακὰς πόλεις νὰ ἐπιδιορθώσουν τὰς ἐν τῷ μεταξὺ δυσκολοδιαβάτους ὁδοὺς πρὸς εὐκολωτέραν ὁδοιπορίαν τοῦ στρατεύματος.*

*Καὶ τὰ μὲν ἄλλα ψηφίζονται· τὸ δὲ περὶ ὁδοιπορίας δὲν δέχονται οἱ στρατιῶται, διότι ἀπεστρέφοντο τὴν ὁδοιπορίαν· κρυφίως ὅμως ὁ Ξενοφῶν καταπείθει τὰς παραλιακὰς πόλεις νὰ ἐπισκευάσουν τὰς ὁδούς. Μετὰ ταῦτα καταπλέουν μερικὰ πλοῖα εἰς Τραπεζοῦντα.*

*Ἐπειδὴ τὰ τρόφιμα ἤρχισαν νὰ ἐξαντλοῦνται, εἰσβάλλουν οἱ Ἕλληνες εἰς τὴν πλησίον ὀρεινὴν χώραν τῶν Δριλῶν. Οἱ Δρίλαι, ἀφοῦ ἔκαυσαν ὅλα τὰ εὐκολοκυρίευτα χωρία των, συρρέουν ὅλοι μὲ τὰ ὑπάρχοντά των εἰς χωρίον τι ὀχυρόν, τὸ ὁποῖον ἦτο ἡ πρωτεύουσά των. Ταύτην οἱ Ἕλληνες μετὰ μακρὰν μάχην κυριεύουν καὶ πυρπολοῦν· τὴν δ' ἑπομένην ἐπανέρχονται εἰς τὴν Τραπεζοῦντα κομίζοντες τροφάς.]*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 18. Ἄφιξις τῶν Ἑλλήνων εἰς Κερασοῦντα. Διανομὴ τῶν ἐκ τῶν λαφύρων χρημάτων καὶ χρησιμοποίησις ὑπὸ τοῦ Ξενοφῶντος τῶν διὰ τοὺς θεοὺς παραδοθέντων εἰς αὐτὸν χρημάτων.

(3, 1 - 13)

§ 1 - 3 Ἐπεὶ δὲ οὔτε Χειρίσοφος ἧκεν οὔτε πλοῖα ἱκανὰ ἦν οὔτε τὰ ἐπιτήδεια ἐξῆν λαμβάνειν ἔτι, ἐδόκει ἀπιτέον εἶναι. Καὶ εἰς μὲν τὰ πλοῖα τούς τε ἀσθενοῦντας ἐνεβίβασαν καὶ τοὺς ὑπὲρ τετταράκοντα ἔτη καὶ παῖδας καὶ γυναῖκας καὶ τῶν σκευῶν, ὅσα μὴ ἀνάγκη ἦν ἔχειν. Καὶ Φιλήσιον καὶ Σοφαίνετον τοὺς πρεσβυτάτους τῶν στρατηγῶν εἰσβιβάσαντες τούτων ἐκέλευον ἐπιμελεῖσθαι· οἱ δὲ ἄλλοι ἐπορεύοντο· ἡ δὲ ὁδὸς ὡδοποιημένη ἦν. Καὶ ἀφικνοῦνται πορευόμενοι εἰς Κερασοῦντα τριταῖοι, πόλιν Ἑλληνίδα ἐπὶ θαλάττῃ, Σινωπέων ἄποικον ἐν τῇ Κολχίδι χώρᾳ. Ἐνταῦθα ἔμειναν ἡμέρας δέκα· καὶ ἐξέτασις σὺν τοῖς ὅπλοις ἐγίγνετο καὶ ἀριθμός. Καὶ ἐγένοντο ὀκτακισχίλιοι καὶ ἑξακόσιοι. Οὗτοι ἐσώθησαν. Οἱ δὲ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων καὶ χιόνος καὶ εἴ τις νόσῳ.

§ 4 - 6 Ἐνταῦθα καὶ διαλαμβάνουσι τὸ ἀπὸ τῶν αἰχμαλώτων ἀργύριον γενόμενον. Καὶ τὴν δεκάτην, ἣν τῷ Ἀπόλλωνι ἐξεῖλον καὶ τῇ Ἐφεσίᾳ Ἀρτέμιδι, διέλαβον οἱ στρατηγοὶ τὸ μέρος ἕκαστος φυλάττειν τοῖς θεοῖς· ἀντὶ δὲ Χειρισόφου Νέων ὁ Ἀσιναῖος ἔλαβε. Ξενοφῶν οὖν τὸ μὲν τοῦ Ἀπόλλωνος μέρος ἀνάθημα ποιησάμενος ἀνατίθησιν εἰς τὸν ἐν Δελφοῖς τῶν Ἀθηναίων θησαυρὸν καὶ ἐπέγραψε τό τε αὑτοῦ ὄνομα καὶ τοῦ Προξένου, ὃς σὺν Κλεάρχῳ ἀπέθανε· ξένος γὰρ ἦν αὐτοῦ. Τὸ δὲ τῆς Ἀρτέμιδος τῆς Ἐφεσίας, ὅτ' ἀπῄει σὺν Ἀγησιλάῳ ἐκ τῆς Ἀσίας εἰς Βοιωτίαν, καταλείπει παρὰ Μεγαβύζῳ, τῷ τῆς Ἀρτέμιδος νεωκόρῳ, ὅτι αὐτὸς κινδυνεύσων ἐδόκει ἰέναι, καὶ ἐπέστειλεν, ἢν μὲν αὐτὸς σωθῇ, αὑτῷ ἀποδοῦναι·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἢν δέ τι πάθῃ, ἀναθεῖναι ποιησάμενον τῇ Ἀρτέμιδι, ὅ,τι οἴοιτο χαριεῖσθαι τῇ θεῷ.

Ἐπεὶ δ' ἔφευγεν ὁ Ξενοφῶν καὶ κατῴκει ἤδη ἐν Σκιλ- § 7 - 8
λοῦντι παρὰ τὴν Ὀλυμπίαν, ἀφικνεῖται Μεγάβυζος εἰς Ὀλυμπίαν θεωρήσων, καὶ ἀποδίδωσι τὴν παρακαταθήκην αὐτῷ· Ξενοφῶν δὲ λαβὼν χωρίον ὠνεῖται τῇ θεῷ, ὅπου ἀνεῖλεν ὁ θεός. Ἔτυχε δὲ διαρρέων διὰ τοῦ χωρίου ποταμὸς Σελινοῦς. Καὶ ἐν Ἐφέσῳ δὲ παρὰ τὸν τῆς Ἀρτέμιδος νεὼν Σελινοῦς ποταμὸς παραρρεῖ. Καὶ ἰχθύες ἐν ἀμφοτέροις ἔνεισι καὶ κόγχαι· ἐν δὲ τῷ ἐν Σκιλλοῦντι χωρίῳ καὶ θῆραι πάντων τῶν θηρίων, ὁπόσα ἐστὶν ἀγρευόμενα.

Ἐποίησε δὲ καὶ βωμὸν καὶ ναὸν ἀπὸ τοῦ ἱεροῦ ἀργυρίου § 9 - 10
καὶ τὸ λοιπὸν δὲ ἀεὶ δεκατεύων τὰ ἐκ τοῦ ἀγροῦ ὡραῖα θυσίαν ἐποίει τῇ θεῷ καὶ πάντες οἱ πολῖται καὶ οἱ πρόσχωροι ἄνδρες καὶ γυναῖκες μετεῖχον τῆς ἑορτῆς. Παρεῖχε δὲ ἡ θεὸς τοῖς σκηνοῦσιν ἄλφιτα, ἄρτους, οἶνον, τραγήματα, καὶ τῶν θυομένων ἀπὸ τῆς ἱερᾶς νομῆς λάχος, καὶ τῶν θηρευομένων δέ. Καὶ γὰρ θήραν ἐποιοῦντο εἰς τὴν ἑορτὴν οἵ τε Ξενοφῶντος παῖδες καὶ οἱ τῶν ἄλλων πολιτῶν, καὶ ἄνδρες δὲ οἱ βουλόμενοι συνεθήρων· καὶ ἡλίσκετο τὰ μὲν ἐξ αὐτοῦ τοῦ ἱεροῦ χώρου, τὰ δὲ καὶ ἐκ τῆς Φολόης, σύες καὶ δορκάδες καὶ ἔλαφοι.

Ἔστι δὲ τὸ χωρίον, ᾗ ἐκ Λακεδαίμονος εἰς Ὀλυμπίαν § 11 - 13
πορεύονται, ὡς εἴκοσι στάδιοι ἀπὸ τοῦ ἐν Ὀλυμπίᾳ Διὸς ἱεροῦ. Ἔνι δ' ἐν τῷ ἱερῷ χώρῳ καὶ λειμὼν καὶ ὄρη δένδρων μεστά, ἱκανὰ σῦς καὶ αἶγας καὶ βοῦς τρέφειν καὶ ἵππους, ὥστε καὶ τὰ τῶν εἰς τὴν ἑορτὴν ἰόντων ὑποζύγια εὐωχεῖσθαι. Περὶ δὲ αὐτὸν τὸν ναὸν ἄλσος ἡμέρων δένδρων ἐφυτεύθη. Ὁ δὲ ναός, ὡς μικρὸς μεγάλῳ, τῷ ἐν Ἐφέσῳ εἴκασται, καὶ τὸ ξόανον ἔοικεν, ὡς κυπαρίττινον χρυσῷ, τῷ ἐν Ἐφέσῳ. Καὶ στήλη ἕστηκε παρὰ τὸν ναὸν γράμματα ἔχουσα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΙΕΡΟΣ Ο ΧΩΡΟΣ ΤΗΣ ΑΡΤΕΜΙΔΟΣ. ΤΟΝ ΕΧΟΝΤΑ ΚΑΙ ΚΑΡΠΟΥΜΕΝΟΝ ΤΗΝ ΜΕΝ ΔΕΚΑΤΗΝ ΚΑΤΑΘΥΕΙΝ ΕΚΑΣΤΟΥ ΕΤΟΥΣ. ΕΚ ΔΕ ΤΟΥ ΠΕΡΙΤΤΟΥ ΤΟΝ ΝΑΟΝ ΕΠΙΣΚΕΥΑΖΕΙΝ. ΑΝ ΔΕ ΤΙΣ ΜΗ ΠΟΙῌ ΤΑΥΤΑ, Τῌ ΘΕΩ͂ ΜΕΛΗΣΕΙ.

*[ Ἀπὸ τὴν Κερασοῦντα οἱ Ἕλληνες ἐξακολουθοῦντες τὴν πορείαν φθάνουν εἰς τὰ ὅρια τῆς χώρας τῶν Μοσσυνοίκων. Οὗτοι, ἐπειδὴ εἶχον μεγάλην πεποίθησιν εἰς τὴν ὀχυρότητα τῆς χώρας των, δὲν ἤθελον νὰ ἐπιτρέψουν εἰς τοὺς Ἕλληνας νὰ διέλθουν δι' αὐτῆς. Τότε οἱ Ἕλληνες διὰ τῆς μεσιτείας ἑνὸς Τραπεζουντίου συμμαχοῦν μὲ τοὺς δυτικοὺς Μοσσυνοίκους, οἱ ὁποῖοι ἦσαν ἐχθροὶ τῶν ἀνατολικῶν, τῶν ἐμποδιζόντων τὴν δίοδον. Μετὰ τὴν συμμαχίαν αὐτὴν οἱ Ἕλληνες ἐπιτίθενται κατὰ τῶν ἀνατολικῶν Μοσσυνοίκων, νικοῦν αὐτοὺς καὶ τὴν χώραν παραδίδουν εἰς τοὺς συμμάχους των.*

*Ἀπὸ τὴν χώραν τῶν Μοσσυνοίκων εἰσέρχονται διὰ μέσου τῆς χώρας τῶν Χαλύβων εἰς τὴν χώραν τῶν Τιβαρηνῶν καὶ ταύτην ἀφοῦ διῆλθον εἰρηνικῶς φθάνουν μετὰ δύο ἡμέρας εἰς τὴν ἑλληνικὴν πόλιν Κοτύωρα, ἀποικίαν τῶν Σινωπέων. Ἐδῶ διαμένουν τεσσαράκοντα πέντε ἡμέρας· κατὰ τὸ διάστημα αὐτὸ προσφέρουν θυσίας εἰς τοὺς θεοὺς καὶ τελοῦν ἱερὰς τελετὰς καὶ γυμνικοὺς ἀγῶνας· τὰ δὲ τρόφιμα ἐλάμβανον διὰ τῆς βίας, ἄλλα μὲν ἐκ τῆς Παφλαγονίας, ἄλλα δὲ ἐκ τῶν περιχώρων τῶν Κοτυωριτῶν· διότι οἱ Κοτυωρῖται οὔτε τροφὰς πρὸς ἀγορὰν παρεῖχον εἰς τοὺς Ἕλληνας οὔτε ἐδέχοντο εἰς τὴν πόλιν των τοὺς ἀσθενεῖς.]*

## 19. Αἱ ἐν Κοτυώροις διαπραγματεύσεις τῶν Σινωπέων πρέσβεων μετὰ τῶν Ἑλλήνων.

( **5**, 7 - 25 )

§ 7 - 9 Ἐν τούτῳ ἔρχονται ἐκ Σινώπης πρέσβεις, φοβούμενοι περὶ τῶν Κοτυωριτῶν τῆς τε πόλεως — ἦν γὰρ ἀποικία ἐκείνων καὶ φόρον ἐκείνοις ἔφερε - καὶ περὶ τῆς χώρας, ὅτι ἤκουον δῃουμένην. Καὶ ἐλθόντες εἰς τὸ στρατόπεδον τῶν Ἑλλήνων ἔλεγον· προηγόρει δὲ Ἑκατώνυμος, δεινὸς νομιζόμενος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶναι λέγειν· « ῎Επεμψεν ἡμᾶς, ὦ ἄνδρες στρατιῶται, ἡ τῶν Σινωπέων πόλις ἐπαινέσοντάς τε ὑμᾶς, ὅτι νικᾶτε, ῞Ελληνες ὄντες βαρβάρους, ἔπειτα δὲ συνησθησομένους, ὅτι διὰ πολλῶν τε καὶ δεινῶν, ὡς ἡμεῖς ἠκούσαμεν, πραγμάτων σεσωσμένοι παρεγένεσθε. ᾽Αξιοῦμεν δέ, ῞Ελληνες ὄντες καὶ αὐτοί, ὑφ᾽ ὑμῶν ὄντων ῾Ελλήνων ἀγαθὸν μέν τι πάσχειν, κακὸν δὲ μηδέν· οὐδὲ γὰρ ἡμεῖς ὑμᾶς οὐδὲν πώποτε ὑπήρξαμεν κακῶς ποιοῦντες.

» Κοτυωρῖται δὲ οὗτοί εἰσιν ἡμέτεροι ἄποικοι, καὶ τὴν § 10 - 12
χώραν ἡμεῖς αὐτοῖς ταύτην παραδεδώκαμεν βαρβάρους ἀφελόμενοι· διὸ καὶ δασμὸν ἡμῖν φέρουσιν οὗτοι τεταγμένον καὶ Κερασούντιοι καὶ Τραπεζούντιοι· ὥστε, ὅ,τι ἂν τούτοις κακὸν ποιήσητε, ἡ Σινωπέων πόλις νομίζει πάσχειν. Νῦν δὲ ἀκούομεν ὑμᾶς εἴς τε τὴν πόλιν βίᾳ εἰσεληλυθότας σκηνοῦν ἐν ταῖς οἰκίαις καὶ ἐκ τῶν χωρίων βίᾳ λαμβάνειν, ὧν ἂν δέησθε, οὐ πείθοντας. Ταῦτ᾽ οὖν οὐκ ἀξιοῦμεν· εἰ δὲ ταῦτα ποιήσετε, ἀνάγκη ἡμῖν καὶ Κορύλαν καὶ Παφλαγόνας καὶ ἄλλον, ὅντινα ἂν δυνώμεθα, φίλον ποιεῖσθαι ».

Πρὸς ταῦτα ἀναστὰς Ξενοφῶν ὑπὲρ τῶν στρατιωτῶν § 13 - 15
εἶπεν· « ᾽Αλλ᾽ ἡμεῖς, ὦ ἄνδρες Σινωπεῖς, ἥκομεν ἀγαπῶντες, ὅτι τὰ σώματα διεσωσάμεθα καὶ τὰ ὅπλα· οὐ γὰρ ἦν δυνατὸν ἅμα τε χρήματα ἄγειν καὶ φέρειν καὶ τοῖς πολεμίοις μάχεσθαι. Καὶ νῦν, ἐπεὶ εἰς τὰς ῾Ελληνίδας πόλεις ἤλθομεν, ἐν Τραπεζοῦντι μέν, παρεῖχον γὰρ ἡμῖν ἀγοράν, ὠνούμενοι εἴχομεν τὰ ἐπιτήδεια, καὶ ἀνθ᾽ ὧν ἐτίμησαν ἡμᾶς καὶ ξένια ἔδωκαν τῇ στρατιᾷ, ἀντετιμῶμεν αὐτούς, καὶ εἴ τις τῶν βαρβάρων αὐτοῖς φίλος ἦν, τούτων ἀπειχόμεθα· τοὺς δὲ πολεμίους αὐτῶν, ἐφ᾽ οὓς αὐτοὶ ἡγοῖντο, κακῶς ἐποιοῦμεν, ὅσον ἐδυνάμεθα. ᾽Ερωτᾶτε δὲ αὐτούς, ὁποίων τινῶν ἡμῶν ἔτυχον· πάρεισι γὰρ ἐνθάδε, οὓς ἡμῖν ἡγεμόνας διὰ φιλίαν ἡ πόλις συνέπεμψεν.

» ῞Οποι δ᾽ ἂν ἐλθόντες ἀγορὰν μὴ ἔχωμεν, ἄν τε εἰς βάρ- § 16 - 19

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βαρον γῆν ἄν τε εἰς Ἑλληνίδα, οὐχ ὕβρει ἀλλὰ ἀνάγκῃ λαμβάνομεν τὰ ἐπιτήδεια. Καὶ Καρδούχους καὶ Ταόχους καὶ Χαλδαίους, καίπερ βασιλέως οὐχ ὑπηκόους ὄντας, ὅμως, καὶ μάλα φοβεροὺς ὄντας, πολεμίους ἐκτησάμεθα διὰ τὸ ἀνάγκην εἶναι λαμβάνειν τὰ ἐπιτήδεια, ἐπεὶ ἀγορὰν οὐ παρεῖχον. Μάκρωνας δέ, καίπερ βαρβάρους ὄντας, ἐπεὶ ἀγοράν, οἵαν ἐδύναντο, παρεῖχον, φίλους τε ἐνομίζομεν εἶναι καὶ βίᾳ οὐδὲν ἐλαμβάνομεν τῶν ἐκείνων. Κοτυωρίτας δέ, οὓς ὑμετέρους φατὲ εἶναι, εἴ τι αὐτῶν εἰλήφαμεν, αὐτοὶ αἴτιοί εἰσιν· οὐ γὰρ ὡς φίλοι προσεφέροντο ἡμῖν, ἀλλὰ κλείσαντες τὰς πύλας οὔτε εἴσω ἐδέχοντο οὔτε ἔξω ἀγορὰν ἔπεμπον· ᾐτιῶντο δὲ τὸν παρ' ὑμῶν ἁρμοστὴν τούτων αἴτιον εἶναι.

§ 20 - 21 » Ὃ δὲ λέγεις βίᾳ εἰσελθόντας σκηνοῦν, εὖ ἴσθι, ὅτι ἡμεῖς ἠξιοῦμεν τοὺς κάμνοντας εἰς τὰς οἰκίας δέξασθαι· ἐπεὶ δὲ οὐκ ἀνέῳγον τὰς πύλας, ᾗ ἡμᾶς ἐδέχετο αὐτὸ τὸ χωρίον, ταύτῃ εἰσελθόντες ἄλλο μὲν οὐδὲν βίαιον ἐποιήσαμεν, σκηνοῦσι δ' ἐν ταῖς οἰκίαις οἱ κάμνοντες τὰ αὑτῶν δαπανῶντες, καὶ τὰς πύλας φρουροῦμεν, ὅπως μὴ ἐπὶ τῷ ὑμετέρῳ ἁρμοστῇ ὦσιν οἱ κάμνοντες ἡμῶν, ἀλλ' ἐφ' ἡμῖν ᾖ κομίσασθαι αὐτούς, ὅταν βουλώμεθα. Οἱ δ' ἄλλοι, ὡς ὁρᾶτε, σκηνοῦμεν ὑπαίθριοι ἐν τῇ τάξει, παρεσκευασμένοι, ἂν μέν τις εὖ ποιῇ, ἀντευποιεῖν, ἂν δὲ κακῶς, ἀλέξασθαι.

§ 22 - 23 » Ἃ δὲ ἠπείλησας, ὡς, ἢν ὑμῖν δοκῇ, Κορύλαν καὶ Παφλαγόνας συμμάχους ποιήσεσθε ἐφ' ἡμᾶς, εὖ ἴσθι, ὅτι ἡμεῖς ἢν μὲν ἀνάγκη ᾖ, πολεμήσομεν καὶ ἀμφοτέροις· ἤδη γὰρ καὶ ἄλλοις πολλαπλασίοις ὑμῶν ἐπολεμήσαμεν· ἂν δὲ δοκῇ ἡμῖν καὶ φίλον ποιεῖσθαι τὸν Παφλαγόνα — ἀκούομεν δὲ αὐτὸν καὶ ἐπιθυμεῖν τῆς ὑμετέρας πόλεως καὶ χωρίων τῶν ἐπιθαλαττίων —, πειρασόμεθα συμπράττοντες αὐτῷ, ὧν ἐπιθυμεῖ, φίλοι γίγνεσθαι ».

§ 24 - 25 Ἐκ τούτου μάλα μὲν δῆλοι ἦσαν οἱ συμπρέσβεις τῷ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἑκατωνύμῳ χαλεπαίνοντες τοῖς εἰρημένοις, παρελθὼν δ' αὐτῶν ἄλλος εἶπεν, ὅτι οὐ πόλεμον ποιησόμενοι ἥκοιεν, ἀλλὰ ἐπιδείξοντες, ὅτι φίλοι εἰσί. « Καὶ ξενίοις, ἢν μὲν ἔλθητε πρὸς τὴν Σινωπέων πόλιν, ἐκεῖ δεξόμεθα, νῦν δὲ τοὺς ἐνθάδε κελεύσομεν διδόναι, ἃ δύνανται· ὁρῶμεν γὰρ πάντα ἀληθῆ ὄντα, ἃ λέγετε ». Ἐκ τούτου ξένιά τε ἔπεμπον οἱ Κοτυωρῖται, καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων ἐξένιζον τοὺς τῶν Σινωπέων πρέσβεις, καὶ πρὸς ἀλλήλους πολλά τε καὶ φιλικὰ διελέγοντο τά τε ἄλλα καὶ περὶ τῆς λοιπῆς πορείας ἀνεπυνθάνοντο.

*[ Τὴν ἐπομένην συγκαλοῦν οἱ στρατηγοὶ τὸν στρατὸν εἰς συνέλευσιν καὶ τοὺς πρέσβεις τῶν Σινωπέων, ἵνα συσκεφθοῦν περὶ τῆς περαιτέρω πορείας, ἂν πρέπει νὰ κάμουν τὴν πορείαν διὰ ξηρᾶς ἢ διὰ θαλάσσης. Ἀποφασίζουν νὰ γίνῃ ἡ πορεία διὰ θαλάσσης καὶ οἱ Σινωπεῖς ἀναλαμβάνουν νὰ χορηγήσουν τὰ ἀναγκαῖα πρὸς τοῦτο πλοῖα.*

*Ἐν τῷ μεταξὺ ὁ Ξενοφῶν κατηγορηθείς, ὅτι ἐκτύπησέ τινας καὶ ἐφέρετο ὑβριστικῶς, ἀπολογεῖται καὶ ἀποδεικνύει, ὅτι, ὁσάκις ἠναγκάσθη νὰ κτυπήσῃ τινὰ καὶ νὰ μεταχειρισθῇ βίαν, τὸ ἔκαμε πρὸς τὸ συμφέρον τοῦ στρατεύματος καὶ διατήρησιν τῆς πειθαρχίας· οὕτω π.χ. λέγει, ὅτι ἐκτύπησε στρατιώτας τινάς, διότι οὗτοι ἀφήνοντες τὰς τάξεις των καὶ τρέχοντες ἤθελον νὰ ἁρπάζουν λάφυρα καὶ νὰ πλεονεκτοῦν. Ἀναφέρει δὲ καὶ ἄλλας περιστάσεις, κατὰ τὰς ὁποίας δικαίως μετεχειρίσθη βίαν. Τέλος ἐκφράζει τὸ παράπονον, ὅτι τὰ μὲν κακά, ὅσα ἔπαθον ἀπ' αὐτόν, ἐνθυμοῦνται, τὰ δὲ καλά, τὰ ὁποῖα ἔλαβον παρ' αὐτοῦ λησμονοῦν.* **«Ἀλλὰ μήν»**, *λέγει,* **« καλόν γε καὶ δίκαιον καὶ ὅσιον καὶ ἥδιον τῶν ἀγαθῶν μᾶλλον ἢ τῶν κακῶν μεμνῆσθαι ».*]***

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ

## ΑΠΟ ΤΑ ΚΟΤΥΩΡΑ ΕΩΣ ΤΗΝ ΧΡΥΣΟΠΟΛΙΝ

**( Μάϊος - Ὀκτώβριος τοῦ 400 π.Χ. )**

### 20. Συνθῆκαι τῶν Ἑλλήνων μετὰ τῶν Παφλαγόνων. Ἄφιξις εἰς τὴν Σινώπην καὶ ἐκλογὴ ἑνὸς ἄρχοντος.

( **1**, 1 - 22, 24 - 33 )

§ 1 - 3 Ἐκ τούτου δὲ ἐν τῇ διατριβῇ οἱ μὲν ἀπὸ τῆς ἀγορᾶς ἔζων, οἱ δὲ καὶ ληζόμενοι ἐκ τῆς Παφλαγονίας. Ἐκλώπευον δὲ καὶ οἱ Παφλαγόνες εὖ μάλα τοὺς ἀποσκεδαννυμένους καὶ τῆς νυκτὸς τοὺς πρόσω σκηνοῦντας ἐπειρῶντο κακουργεῖν· καὶ πολεμικώτατα πρὸς ἀλλήλους εἶχον ἐκ τούτων. Ὁ δὲ Κορύλας, ὃς ἐτύγχανε τότε Παφλαγονίας ἄρχων, πέμπει παρὰ τοὺς Ἕλληνας πρέσβεις ἔχοντας ἵππους καὶ στολὰς καλάς, λέγοντας, ὅτι Κορύλας ἕτοιμος εἴη τοὺς Ἕλληνας μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι. Οἱ δὲ στρατηγοὶ ἀπεκρίναντο, ὅτι περὶ μὲν τούτων σὺν τῇ στρατιᾷ βουλεύσοιντο, ἐπὶ ξένια δὲ ἐδέχοντο αὐτούς· παρεκάλεσαν δὲ καὶ τῶν ἄλλων ἀνδρῶν, οὓς ἐδόκουν δικαιοτάτους εἶναι.

§ 4 - 6 Θύσαντες δὲ βοῦς τῶν αἰχμαλώτων καὶ ἄλλα ἱερεῖα εὐωχίαν μὲν ἀρκοῦσαν παρεῖχον, κατακείμενοι δὲ ἐν σκίμποσιν ἐδείπνουν καὶ ἔπινον ἐκ κερατίνων ποτηρίων, οἷς ἐνετύγχανον ἐν τῇ χώρᾳ. Ἐπεὶ δὲ σπονδαί τε ἐγένοντο καὶ ἐπαιάνισαν, ἀνέστησαν πρῶτον μὲν Θρᾷκες καὶ πρὸς αὐλὸν ὠρχήσαντο σὺν τοῖς ὅπλοις καὶ ἥλλοντο ὑψηλά τε καὶ κούφως καὶ ταῖς μαχαίραις ἐχρῶντο· τέλος δὲ ὁ ἕτερος τὸν ἕτερον παίει, ὡς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πᾶσιν ἐδόκει· ὁ δ' ἔπεσε τεχνικῶς πως. Καὶ ἀνέκραγον οἱ Παφλαγόνες. Καὶ ὁ μὲν σκυλεύσας τὰ ὅπλα τοῦ ἑτέρου ἐξῄει ᾄδων τὸν Σιτάλκαν· ἄλλοι δὲ τῶν Θρᾳκῶν τὸν ἕτερον ἐξέφερον ὡς τεθνηκότα· ὁ δὲ οὐδὲν ἐπεπόνθει.

Μετὰ τοῦτο Αἰνιᾶνες καὶ Μάγνητες ἀνέστησαν, οἳ ὠρ- § 7 - 8
χοῦντο τὴν καρπαίαν καλουμένην ἐν τοῖς ὅπλοις. Ὁ δὲ τρόπος τῆς ὀρχήσεως ἦν ὅδε· ὁ μὲν παραθέμενος τὰ ὅπλα σπείρει καὶ ζευγηλατεῖ πυκνὰ στρεφόμενος ὡς φοβούμενος, λῃστὴς δὲ προσέρχεται· ὁ δ' ἐπειδὰν προΐδῃ, ἀπαντᾷ ἁρπάσας τὰ ὅπλα καὶ μάχεται πρὸ τοῦ ζεύγους· καὶ οὗτοι ταῦτ' ἐποίουν ἐν ρυθμῷ πρὸς τὸν αὐλόν· καὶ τέλος ὁ λῃστής, δήσας τὸν ἄνδρα, καὶ τὸ ζεῦγος ἀπάγει· ἐνίοτε δὲ καὶ ὁ ζευγηλάτης τὸν λῃστήν· εἶτα παρὰ τοὺς βοῦς ζεύξας ὀπίσω τὼ χεῖρε δεδεμένον ἐλαύνει.

Μετὰ τοῦτο Μυσὸς εἰσῆλθεν ἐν ἑκατέρᾳ τῇ χειρὶ ἔχων § 9 - 11
πέλτην καὶ τοτὲ μέν, ὡς δύο ἀντιταττομένων, μιμούμενος ὠρχεῖτο, τοτὲ δὲ ὡς πρὸς ἕνα ἐχρῆτο ταῖς πέλταις, τοτὲ δ' ἐδινεῖτο καὶ ἐξεκυβίστα ἔχων τὰς πέλτας, ὥστε ὄψιν καλὴν φαίνεσθαι. Τέλος δὲ τὸ περσικὸν ὠρχεῖτο κρούων τὰς πέλτας καὶ ὤκλαζε καὶ ἐξανίστατο· καὶ ταῦτα πάντα ἐν ρυθμῷ ἐποίει πρὸς τὸν αὐλόν. Μετὰ δὲ τοῦτον οἱ Μαντινεῖς καὶ ἄλλοι τινὲς τῶν Ἀρκάδων ἀναστάντες ἐξοπλισάμενοι, ὡς ἐδύναντο κάλλιστα, ᾖσάν τε ἐν ρυθμῷ πρὸς τὸν ἐνόπλιον ρυθμὸν αὐλούμενοι καὶ ἐπαιάνισαν καὶ ὠρχήσαντο, ὥσπερ ἐν ταῖς πρὸς τοὺς θεοὺς προσόδοις.

Ὁρῶντες δὲ οἱ Παφλαγόνες δεινὰ ἐποιοῦντο πάσας τὰς § 12 - 13
ὀρχήσεις ἐν ὅπλοις εἶναι. Ἐπὶ τούτοις ὁρῶν ὁ Μυσὸς ἐκπεπληγμένους αὐτοὺς ὀρχηστρίδα εἰσάγει ἐνσκευάσας, ὡς ἐδύνατο κάλλιστα, καὶ ἀσπίδα δοὺς κούφην αὐτῇ. Ἡ δὲ ὠρχήσατο πυρρίχην ἐλαφρῶς. Ἐνταῦθα κρότος ἦν πολύς. Τῇ μὲν νυκτὶ ταύτῃ τοῦτο τὸ τέλος ἐγένετο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 14 - 16 Τῇ δὲ ὑστεραίᾳ προσῆγον τοὺς πρέσβεις εἰς τὸ στράτευμα· καὶ ἔδοξε τοῖς στρατιώταις μήτε ἀδικεῖν Παφλαγόνας μήτε ἀδικεῖσθαι. Μετὰ τοῦτο οἱ μὲν πρέσβεις ᾤχοντο· οἱ δὲ Ἕλληνες, ἐπειδὴ πλοῖα ἱκανὰ ἐδόκει παρεῖναι, ἀναβάντες ἔπλεον ἡμέραν καὶ νύκτα πνεύματι καλῷ ἐν ἀριστερᾷ ἔχοντες τὴν Παφλαγονίαν. Τῇ δ' ἄλλῃ ἀφικνοῦνται εἰς Σινώπην καὶ ὡρμίσαντο εἰς Ἁρμήνην τῆς Σινώπης. Σινωπεῖς δὲ οἰκοῦσι μὲν ἐν τῇ Παφλαγονικῇ, Μιλησίων δὲ ἄποικοί εἰσιν. Οὗτοι δὲ ξένια πέμπουσι τοῖς Ἕλλησιν ἀλφίτων μὲν μεδίμνους τρισχιλίους, οἴνου δὲ κεράμια χίλια καὶ πεντακόσια. Καὶ Χειρίσοφος ἐνταῦθα ἦλθε τριήρη ἔχων. Καὶ οἱ μὲν στρατιῶται προσεδόκων ἄγοντά τι σφίσιν ἥκειν· ὁ δ' ἦγε μὲν οὐδέν, ἀπήγγελλε δέ, ὅτι ἐπαινοίη αὐτοὺς καὶ Ἀναξίβιος ὁ ναύαρχος καὶ οἱ ἄλλοι καὶ ὅτι ὑπισχνεῖτο Ἀναξίβιος, εἰ ἀφίκοιντο ἔξω τοῦ Πόντου, μισθοφορὰν αὐτοῖς ἔσεσθαι.

§ 17 - 18 Καὶ ἐν ταύτῃ τῇ Ἁρμήνῃ ἔμειναν οἱ στρατιῶται ἡμέρας πέντε. Ὡς δὲ τῆς Ἑλλάδος ἐδόκουν ἐγγὺς γίγνεσθαι, ἤδη μᾶλλον ἢ πρόσθεν εἰσῄει αὐτούς, ὅπως ἂν καὶ ἔχοντές τι οἴκαδε ἀφίκοιντο. Ἡγήσαντο οὖν, εἰ ἕνα ἕλοιντο ἄρχοντα, μᾶλλον ἄν, ἢ πολυαρχίας οὔσης, δύνασθαι τὸν ἕνα χρῆσθαι τῷ στρατεύματι καὶ νυκτὸς καὶ ἡμέρας, καί, εἴ τι δέοι λανθάνειν, μᾶλλον ἂν κρύπτεσθαι, καί, εἴ τι αὖ δέοι φθάνειν, ἧττον ἂν ὑστερίζειν· οὐ γὰρ ἂν λόγων δεῖν πρὸς ἀλλήλους, ἀλλὰ τὸ δόξαν τῷ ἑνὶ περαίνεσθαι ἄν· τὸν δ' ἔμπροσθεν χρόνον ἐκ τῆς νικώσης ἔπραττον πάντα οἱ στρατηγοί.

§ 19 - 21 Ὡς δὲ ταῦτα διενοοῦντο, ἐτράποντο ἐπὶ τὸν Ξενοφῶντα· καὶ οἱ λοχαγοὶ ἔλεγον προσιόντες αὐτῷ, ὅτι ἡ στρατιὰ οὕτω γιγνώσκει καὶ εὔνοιαν ἐνδεικνύμενος ἕκαστος ἔπειθεν αὐτὸν ὑποστῆναι τὴν ἀρχήν. Ὁ δὲ Ξενοφῶν τῇ μὲν ἐβούλετο ταῦτα, νομίζων καὶ τὴν τιμὴν μείζω οὕτως ἑαυτῷ γίγνεσθαι παρὰ τοῖς φίλοις καὶ εἰς τὴν πόλιν τὸ αὐτοῦ ὄνομα μεῖζον ἀφίξε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σθαι, ἴσως δὲ καὶ ἀγαθοῦ τινος ἂν αἴτιος τῇ στρατιᾷ γενέσθαι. Τὰ μὲν δὴ τοιαῦτα ἐνθυμήματα ἐπῆρεν αὐτὸν ἐπιθυμεῖν αὐτοκράτορα γενέσθαι ἄρχοντα. Ὁπότε δ' αὖ ἐνθυμοῖτο, ὅτι ἄδηλον μὲν παντὶ ἀνθρώπῳ, ὅπῃ τὸ μέλλον ἕξει, διὰ τοῦτο δὲ καὶ κίνδυνος εἴη καὶ τὴν προειργασμένην δόξαν ἀποβαλεῖν, ἠπορεῖτο.

Ἀπορουμένῳ δὲ αὐτῷ ἔδοξε κράτιστον εἶναι τοῖς θεοῖς § 22 - 24
ἀνακοινῶσαι· καὶ παραστησάμενος δύο ἱερεῖα ἐθύετο τῷ Διὶ τῷ βασιλεῖ. Θυομένῳ δὲ αὐτῷ διαφανῶς ὁ θεὸς σημαίνει μήτε προσδεῖσθαι τῆς ἀρχῆς μήτε, εἰ αἱροῖντο, ἀποδέχεσθαι. Τοῦτο μὲν δὴ οὕτως ἐγένετο.

Ἡ δὲ στρατιὰ συνῆλθε καὶ πάντες ἔλεγον ἕνα αἱρεῖσθαι· § 25 - 28
καὶ ἐπεὶ τοῦτο ἔδοξε, προὐβάλλοντο αὐτόν. Ἐπεὶ δὲ ἐδόκει δῆλον εἶναι, ὅτι αἱρήσονται αὐτόν, εἴ τις ἐπιψηφίζοι, ἀνέστη καὶ ἔλεγε τάδε· « Ἐγώ, ὦ ἄνδρες, ἥδομαι μὲν ὑφ' ὑμῶν τιμώμενος, εἴπερ ἄνθρωπός εἰμι, καὶ χάριν ἔχω καὶ εὔχομαι δοῦναί μοι τοὺς θεοὺς αἴτιόν τινος ὑμῖν ἀγαθοῦ γενέσθαι· τὸ μέντοι ἐμὲ προκριθῆναι ὑφ' ὑμῶν ἄρχοντα, Λακεδαιμονίου ἀνδρὸς παρόντος, οὔτε ὑμῖν μοι δοκεῖ συμφέρον εἶναι, ἀλλ' ἧττον ἂν διὰ τοῦτο τυγχάνειν, εἴ τι δέοισθε παρ' αὐτῶν· ἐμοί τε αὖ οὐ πάνυ τι νομίζω ἀσφαλὲς εἶναι τοῦτο· οἶδα γάρ, ὅτι καὶ τῇ πατρίδι μου οὐ πρόσθεν ἐπαύσαντο πολεμοῦντες, πρὶν ἐποίησαν πᾶσαν τὴν πόλιν ὁμολογεῖν Λακεδαιμονίους καὶ αὐτῶν ἡγεμόνας εἶναι. Ἐπεὶ δὲ τοῦτο ὡμολόγησαν, αὐθὺς ἐπαύσαντο πολεμοῦντες καὶ οὐκέτι πέρα ἐπολιόρκησαν τὴν πόλιν. Εἰ οὖν ταῦτα εἰδὼς ἐγὼ δοκοίην, ὅπου δυναίμην, ἐνταῦθ' ἄκυρον ποιεῖν τὸ ἐκείνων ἀξίωμα, ἐκεῖνο φοβοῦμαι, μὴ λίαν ἂν ταχὺ σωφρονισθείην.

» Ὃ δὲ ὑμεῖς ἐννοεῖτε, ὅτι ἧττον ἂν στάσις εἴη, ἑνὸς ἄρ- § 29
χοντος ἢ πολλῶν, εὖ ἴστε, ὅτι ἄλλον μὲν ἑλόμενοι οὐχ εὑρήσετε ἐμὲ στασιάζοντα· νομίζω γάρ, ὅστις ἐν πολέμῳ ὢν στα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιάζει πρὸς ἄρχοντα, τοῦτον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν· ἐὰν δὲ ἐμὲ ἕλησθε, οὐκ ἂν θαυμάσαιμι, εἴ τινα εὕροιτε καὶ ὑμῖν καὶ ἐμοὶ ἀχθόμενον ».

§ 30-31 Ἐπεὶ δὲ ταῦτα εἶπε, πολὺ πλείονες ἀνίσταντο λέγοντες, ὡς δέοι αὐτὸν ἄρχειν. Ἀγασίας δὲ Στυμφάλιος εἶπεν, ὅτι γελοῖον εἴη, εἰ οὕτως ἔχοι· « ἢ ὀργιοῦνται Λακεδαιμόνιοι καὶ ἐὰν σύνδειπνοι συνελθόντες μὴ Λακεδαιμόνιον συμποσίαρχον αἱρῶνται ; ἐπεί, εἰ οὕτω γε τοῦτο ἔχει », ἔφη, « οὐδὲ λοχαγεῖν ἡμῖν ἔξεστιν, ὡς ἔοικεν, ὅτι Ἀρκάδες ἐσμέν ». Ἐνταῦθα δὴ ὡς εὖ εἰπόντος τοῦ Ἀγασίου ἀνεθορύβησαν. Καὶ ὁ Ξενοφῶν ἐπεὶ ἑώρα πλείονος ἐνδέον, παρελθὼν εἶπεν· « Ἀλλ', ὦ ἄνδρες », ἔφη, « ὡς πάνυ εἰδῆτε, ὀμνύω ὑμῖν θεοὺς πάντας καὶ πάσας, ἦ μὴν ἐγώ, ἐπεὶ τὴν ὑμετέραν γνώμην ᾐσθανόμην, ἐθυόμην, εἰ βέλτιον εἴη ὑμῖν τε ἐμοὶ ἐπιτρέψαι ταύτην τὴν ἀρχὴν καὶ ἐμοὶ ὑποστῆναι· καί μοι οἱ θεοὶ οὕτως ἐν τοῖς ἱεροῖς ἐσήμηναν, ὥστε καὶ ἰδιώτην ἂν γνῶναι, ὅτι τῆς μοναρχίας ἀπέχεσθαί με δεῖ ».

§ 32-33 Οὕτω δὴ Χειρίσοφον αἱροῦνται. Χειρίσοφος δ' ἐπεὶ ᾑρέθη, παρελθὼν εἶπεν· « Ἀλλ', ὦ ἄνδρες, τοῦτο μὲν ἴστε, ὅτι οὐδ' ἂν ἔγωγε ἐστασίαζον, εἰ ἄλλον εἵλεσθε. Ἐπεὶ μέντοι ἐμὲ εἵλεσθε », ἔφη, « καὶ ἐγὼ πειράσομαι, ὅ,τι ἂν δύνωμαι, ὑμᾶς ἀγαθὸν ποιεῖν. Καὶ ὑμεῖς παρασκευάζεσθε ὡς αὔριον, ἐὰν πλοῦς ᾖ, ἀναξόμενοι· ὁ δὲ πλοῦς ἔσται εἰς Ἡράκλειαν· ἅπαντας οὖν δεῖ ἐκεῖσε πειρᾶσθαι κατασχεῖν· τὰ δ' ἄλλα, ἐπειδὰν ἐκεῖσε ἔλθωμεν, βουλευσόμεθα ».

*[Ἀπὸ τὴν Σινώπην μετὰ διήμερον πλοῦν φθάνουν οἱ Ἕλληνες εἰς τὴν ἑλληνικὴν πόλιν Ἡράκλειαν· ἐδῶ ἀπὸ τοὺς Ἡρακλεώτας, οἱ ὁποῖοι προθύμως τοὺς ἐφιλοξένησαν, ζητοῦν χρήματα. Ἐπειδὴ δὲ ὁ Χειρίσοφος καὶ ὁ Ξενοφῶν ἠρνοῦντο νὰ ἐξαναγκάσουν πόλιν ἑλληνικὴν νὰ δώσῃ χρήματα, γίνεται στάσις εἰς τὸ στράτευμα καὶ διαίρεσις αὐτοῦ. Οἱ Ἀρκάδες καὶ οἱ Ἀχαιοί, οἱ ὁποῖοι ἦσαν περὶ τοὺς 4.500, ἐκ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λέγουν δέκα στρατηγοὺς καὶ λαβόντες πλοῖα ἀπὸ τοὺς Ἡρακλεώτας ἀποπλέουν εἰς τὸν λιμένα τῆς Κάλπης, ὁ Χειρίσοφος μὲ 2.100 στρατιώτας πορεύεται διὰ ξηρᾶς ἀνὰ τὴν παραλίαν καὶ ὁ Ξενοφῶν μὲ 2.100 ἀποβιβάζεται εἰς τὰ ὅρια τῆς Θρᾴκης καὶ τῆς Ἡρακλεώτιδος καὶ ἐξακολουθεῖ τὴν πορείαν διὰ ξηρᾶς.

Οἱ 'Αρκάδες καὶ 'Αχαιοί, εὐθὺς ὡς ἀπεβιβάσθησαν τὴν νύκτα εἰς τὸν λιμένα τῆς Κάλπης, βαδίζουν εἰς τὰς πλησίον κειμένας θρᾳκικὰς κώμας· τὴν ἑπομένην δὲ πρωίαν ἐπιτίθενται κατ' αὐτῶν πρὸς λαφυραγωγίαν καὶ κατορθώνουν νὰ λάβουν πολλὰ λάφυρα· ἀλλ' οἱ Θρᾷκες συναθροισθέντες καταδιώκουν αὐτοὺς καί, ἀφοῦ ἐφόνευσαν πολλούς, ἀναγκάζουν τοὺς λοιποὺς νὰ ὑποχωρήσουν εἴς τινα λόφον καὶ ἐδῶ τοὺς πολιορκοῦν.

Τὴν πολιορκίαν τῶν 'Αρκάδων καὶ 'Αχαιῶν μαθὼν ὁ Ξενοφῶν συναθροίζει τοὺς στρατιώτας του καὶ προτρέπει αὐτοὺς νὰ σπεύσουν εἰς βοήθειαν τῶν πολιορκουμένων. Οἱ Θρᾷκες ἀντιληφθέντες τὴν βοήθειαν φεύγουν τὴν νύκτα καὶ οὕτως οἱ 'Αρκάδες καὶ οἱ 'Αχαιοὶ ἀπροσδοκήτως ἀπαλλαγέντες ἀπὸ τὴν πολιορκίαν τρέπονται πρὸς τὴν Κάλπην, ὅπου συναντοῦν τὸν Χειρίσοφον· μετ' ὀλίγον δὲ καταφθάνει ἐδῶ καὶ ὁ Ξενοφῶν καὶ χαίρουν ὅλοι διὰ τὴν συνάντησιν καὶ συνένωσιν.

Συνενωθέντες πάλιν οἱ Ἕλληνες στρατοπεδεύουν ταύτην τὴν ἡμέραν πλησίον τοῦ λιμένος τῆς Κάλπης. Τὴν δ' ἑπομένην ἐξέρχονται εἰς τὰ ἐνδότερα τῆς χώρας, διὰ νὰ εὕρουν τροφὰς καὶ διὰ νὰ θάψουν τοὺς νεκρούς. 'Αφοῦ δ' ἔθαψαν αὐτούς, τὴν ἀκόλουθον ἡμέραν συναθροισθέντες οἱ στρατιῶται πρῶτον μὲν ἀποφασίζουν νὰ θανατώσουν πάντα, ὅστις εἰς τὸ ἑξῆς ἤθελε κάμει λόγον περὶ διαιρέσεως τοῦ στρατοῦ, ἔπειτα δὲ ἐκλέγουν καὶ πάλιν ὡς ἄρχοντας τοὺς παλαιοὺς στρατηγούς, ἀντὶ δὲ τοῦ Χειρισόφου, ὁ ὁποῖος εἶχεν ἀποθάνει, τὸν Νέωνα.

Ὁ Νέων βλέπων τοὺς στρατιώτας εἰς κακὴν κατάστασιν δι' ἔλλειψιν τροφίμων ἐξάγει δισχιλίους στρατιώτας πρὸς λαφυραγωγίαν· ἀλλὰ οἱ Βιθυνοὶ Θρᾷκες βοηθούμενοι ὑπὸ τοῦ ἱππικοῦ τοῦ Φαρναβάζου τρέπουν αὐτοὺς εἰς φυγὴν καὶ φονεύουν περὶ τοὺς 500.

Τὴν ἑπομένην ἠναγκάσθησαν οἱ Ἕλληνες νὰ ἀποσυρθοῦν εἰς ὀχυρὰν θέσιν καὶ ἐδῶ ὀχυροῦνται διὰ τάφρου καὶ χαρακώματος· ἀφοῦ δὲ ἀφῆκαν εἰς τὸ ὠχυρωμένον στρατόπεδον τὸν Νέωνα μαζὶ μὲ τοὺς πρεσβυτέρους, ἔρχονται οἱ λοιποὶ ὑπὸ τὸν Ξενοφῶντα εἰς τὸν τόπον τῆς συμπλοκῆς καὶ θάπτουν τοὺς νεκρούς. 'Αλλὰ βλέπουν ἀπέναντί των ἐπί τινων λόφων συντεταγμένους τοὺς Βιθυνοὺς καὶ τοὺς ἱππεῖς τοῦ Φαρ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*ναβάζου· ἐνθαρρυνθέντες ὑπὸ τοῦ Ξενοφῶντος ὁρμοῦν κατ' αὐτῶν καὶ τοὺς τρέπουν εἰς φυγήν. Μετὰ τοῦτο περὶ τὴν δύσιν τοῦ ἡλίου, ἀφοῦ ἔστησαν τρόπαιον, ἐπιστρέφουν εἰς τὸ στρατόπεδον.*

*Μετὰ ταῦτα, ἀφοῦ ἐξησφαλίσθησαν ἀπὸ τὰς ἐπιθέσεις τῶν Βιθυνῶν, διαμένουν εἰς τὸν λιμένα τῆς Κάλπης· ἐξερχόμενοι δὲ εἰς τὰ πέριξ ἐλεηλάτουν αὐτὰ καὶ ἔφερον εἰς τὸ στρατόπεδον ἀφθόνους τροφάς· ἄλλοτε δὲ ἐπρομηθεύοντο τροφὰς ἀγοράζοντες ἀπὸ τὰ καταπλέοντα εἰς τὸν λιμένα πλοῖα.*

*'Εν τῷ μεταξὺ ἔρχεται ὁ Κλέανδρος, ὁ ἁρμοστὴς τοῦ Βυζαντίου, ὅστις ὑπόσχεται, ἐὰν οἱ θεοὶ τὸ ἐπιτρέψουν, νὰ ὁδηγήσῃ τοὺς Ἕλληνας εἰς τὴν Ἑλλάδα. 'Επειδὴ ὅμως ἐπὶ τρεῖς ἡμέρας θυσιάζων διὰ τὴν πορείαν δὲν εἶχε τὰς θυσίας εὐνοϊκὰς δι' αὐτήν, ἀποφεύγει νὰ ὁδηγήσῃ τοὺς Ἕλληνας ὑποσχεθεὶς νὰ ὑποδεχθῇ αὐτούς, ὅσον δύναται καλύτερα, ὅταν φθάσουν εἰς τὸ Βυζάντιον. Καὶ οὗτος μὲν ἀνεχώρησεν. Οἱ δὲ Ἕλληνες πεζῇ διὰ τῆς Βιθυνίας πορευόμενοι μετὰ ἓξ ἡμέρας φθάνουν εἰς τὴν Χρυσόπολιν.]*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ

## ΕΙΣ ΤΟ ΒΥΖΑΝΤΙΟΝ. ΑΠΟ ΤΟ ΒΥΖΑΝΤΙΟΝ ΕΙΣ ΤΗΝ ΘΡᾼΚΗΝ ΚΑΙ ΑΠΟ ΤΗΝ ΘΡΑΚΗΝ ΠΑΛΙΝ ΕΙΣ ΤΗΝ ΑΣΙΑΝ

**( Ὀκτώβριος τοῦ 400 - Μάρτιος τοῦ 399 π. Χ. )**

### 21. Οἱ Ἕλληνες ἐν Βυζαντίῳ.

( **1**, 2 - 32 )

Ἐκ τούτου δὲ Φαρνάβαζος φοβούμενος τὸ στράτευμα, μὴ ἐπὶ τὴν αὑτοῦ χώραν στρατεύηται, πέμψας πρέσβεις πρὸς Ἀναξίβιον τὸν ναύαρχον — ὁ δ' ἔτυχεν ἐν Βυζαντίῳ ὤν — ἐδεῖτο διαβιβάσαι τὸ στράτευμα ἐκ τῆς Ἀσίας καὶ ὑπισχνεῖτο πάντα ποιήσειν αὐτῷ, ὅσα δέοι. Καὶ ὁ Ἀναξίβιος μετεπέμψατο τοὺς στρατηγοὺς καὶ λοχαγοὺς εἰς Βυζάντιον καὶ ὑπισχνεῖτο, εἰ διαβαῖεν, μισθοφορὰν ἔσεσθαι τοῖς στρατιώταις. Οἱ μὲν δὴ ἄλλοι ἔφασαν βουλευσάμενοι ἀπαγγελεῖν, Ξενοφῶν δὲ εἶπεν αὐτῷ, ὅτι ἀπαλλάξοιτο ἤδη ἀπὸ τῆς στρατιᾶς καὶ βούλοιτο ἀποπλεῖν. Ὁ δὲ Ἀναξίβιος ἐκέλευσεν αὐτὸν συνδιαβάντα ἔπειτα οὕτως ἀπαλλάττεσθαι. Ἔφη οὖν ταῦτα ποιήσειν. § 2 - 4

Σεύθης δὲ ὁ Θρᾷξ πέμπει Μηδοσάδην καὶ κελεύει Ξενοφῶντα συμπροθυμεῖσθαι, ὅπως διαβῇ τὸ στράτευμα, καὶ ἔφη οὐ μεταμελήσειν αὐτῷ ταῦτα συμπροθυμηθέντι. Ὁ δ' εἶπεν· « Ἀλλὰ τὸ μὲν στράτευμα διαβήσεται· τούτου ἕνεκα μηδὲν τελείτω μήτε ἐμοὶ μήτε ἄλλῳ μηδενί· ἐπειδὰν δὲ διαβῇ, ἐγὼ μὲν ἀπαλλάξομαι, πρὸς δὲ τοὺς διαμένοντας καὶ ἐπικαιρίους ὄντας προσφερέσθω, ὡς ἂν αὐτῷ δοκῇ ». § 5 - 6

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 7 - 10 Ἐκ τούτου διαβαίνουσι πάντες εἰς τὸ Βυζάντιον οἱ στρατιῶται. Καὶ μισθὸν μὲν οὐκ ἐδίδου ὁ Ἀναξίβιος, ἐκήρυξε δὲ λαβόντας τὰ ὅπλα καὶ τὰ σκεύη τοὺς στρατιώτας ἐξιέναι, ὡς ἀποπέμψων τε ἅμα καὶ ἀριθμὸν ποιήσων. Ἐνταῦθα οἱ στρατιῶται ἤχθοντο, ὅτι οὐκ εἶχον ἀργύριον ἐπισιτίζεσθαι εἰς τὴν πορείαν, καὶ ὀκνηρῶς συνεσκευάζοντο. Καὶ ὁ Ξενοφῶν, Κλεάνδρῳ τῷ ἁρμοστῇ ξένος γεγενημένος, προσελθὼν ἠσπάζετο αὐτὸν ὡς ἀποπλευσόμενος ἤδη. Ὁ δὲ αὐτῷ λέγει· « Μὴ ποιήσῃς ταῦτα· εἰ δὲ μή », ἔφη, « αἰτίαν ἕξεις, ἐπεὶ καὶ νῦν τινες ἤδη σὲ αἰτιῶνται, ὅτι οὐ ταχὺ ἐξέρχεται τὸ στράτευμα ». Ὁ δ' εἶπεν· « Αἴτιος μὲν ἔγωγε οὐκ εἰμὶ τούτου, ἀλλ' οἱ στρατιῶται αὐτοί, οἳ ἐπισιτισμοῦ δεόμενοι ἀθυμοῦσι πρὸς τὴν ἔξοδον ». « Ἀλλ' ὅμως », ἔφη, « ἐγώ σοι συμβουλεύω ἐξελθεῖν μὲν ὡς συμπορευσόμενον, ἐπειδὰν δ' ἔξω γένηται τὸ στράτευμα, τότε ἀπαλλάττεσθαι ». « Ταῦτα τοίνυν », ἔφη ὁ Ξενοφῶν, « ἐλθόντες πρὸς Ἀναξίβιον διαπραξόμεθα ». Οὕτως ἐλθόντες ἔλεγον ταῦτα.

§ 11 - 14 Ὁ δὲ ἐκέλευεν οὕτω ποιεῖν καὶ ἐξιέναι τὴν ταχίστην συσκευασαμένους καὶ προσανειπεῖν, ὃς ἂν μὴ παρῇ εἰς τὴν ἐξέτασιν καὶ εἰς τὸν ἀριθμόν, ὅτι αὐτὸς αὐτὸν αἰτιάσεται. Ἐντεῦθεν ἐξῆσαν οἵ τε στρατηγοὶ πρῶτοι καὶ οἱ ἄλλοι. Καὶ ἄρδην πάντες πλὴν ὀλίγων ἔξω ἦσαν, καὶ Ἐτεόνικος εἱστήκει παρὰ τὰς πύλας, ὡς, ὁπότε ἔξω γένοιντο πάντες, συγκλείσων τὰς πύλας καὶ τὸν μοχλὸν ἐμβαλῶν. Ὁ δὲ Ἀναξίβιος συγκαλέσας τοὺς στρατηγοὺς καὶ τοὺς λοχαγοὺς ἔλεξε· « Τὰ μὲν ἐπιτήδεια », ἔφη, « λαμβάνετε ἐκ τῶν Θρᾳκίων κωμῶν· εἰσὶ δὲ αὐτόθι πολλαὶ κριθαὶ καὶ πυροὶ καὶ τἆλλα ἐπιτήδεια· λαβόντες δὲ πορεύεσθε εἰς Χερρόνησον, ἐκεῖ δὲ Κυνίσκος ὑμῖν μισθοδοτήσει ». Ἐπακούσαντες δέ τινες τῶν στρατιωτῶν ταῦτα ἢ καὶ τῶν λοχαγῶν τις διαγγέλλει εἰς τὸ στράτευμα. Καὶ οἱ μὲν στρατηγοὶ ἐπυνθάνοντο περὶ τοῦ Σεύθου, πότερα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολέμιος εἴη ἢ φίλος, καὶ πότερα διὰ τοῦ Ἱεροῦ ὄρους δέοι πορεύεσθαι ἢ κύκλῳ διὰ μέσης τῆς Θρᾴκης.

Ἐν ᾧ δὲ ταῦτα διελέγοντο, οἱ στρατιῶται ἀναρπάσαντες § 15 - 17
τὰ ὅπλα θέουσι δρόμῳ πρὸς τὰς πύλας, ὡς πάλιν εἰς τὴν πόλιν εἰσιόντες. Ὁ δὲ Ἐτεόνικος καὶ οἱ σὺν αὐτῷ, ὡς εἶδον προσθέοντας τοὺς ὁπλίτας, συγκλείουσι τὰς πύλας καὶ τὸν μοχλὸν ἐμβάλλουσιν. Οἱ δὲ στρατιῶται ἔκοπτον τὰς πύλας καὶ ἔλεγον, ὅτι ἀδικώτατα πάσχοιεν ἐκβαλλόμενοι εἰς τοὺς πολεμίους· κατασχίσειν τε τὰς πύλας ἔφασαν, εἰμὴ ἑκόντες ἀνοίξουσιν. Ἄλλοι δὲ ἔθεον ἐπὶ θάλατταν καὶ παρὰ τὴν χηλὴν τὸ τεῖχος ὑπερβάντες εἰσέρχονται εἰς τὴν πόλιν, ἄλλοι δέ, οἳ ἔτι ἐτύγχανον ἔνδον ὄντες τῶν στρατιωτῶν, ὡς ὁρῶσι τὰ ἐπὶ ταῖς πύλαις πράγματα, διακόπτοντες ταῖς ἀξίναις τὸν μοχλόν, ἀναπεταννύασι τὰς πύλας, οἱ δ' εἰσπίπτουσιν.

Ὁ δὲ Ξενοφῶν, ὡς εἶδε τὰ γιγνόμενα, δείσας, μὴ ἐφ' ἁρ- § 18 - 20
παγὴν τράποιτο τὸ στράτευμα καὶ ἀνήκεστα κακὰ γένοιτο τῇ πόλει καὶ ἑαυτῷ καὶ τοῖς στρατιώταις, ἔθει καὶ συνεισπίπτει εἴσω τῶν πυλῶν σὺν τῷ ὄχλῳ. Οἱ δὲ Βυζάντιοι, ὡς εἶδον τὸ στράτευμα βίᾳ εἰσπῖπτον, φεύγουσιν ἐκ τῆς ἀγορᾶς, οἱ μὲν εἰς τὰ πλοῖα, οἱ δὲ οἴκαδε, ὅσοι δὲ ἔνδον ἐτύγχανον ὄντες, ἔξω, οἱ δὲ καθεῖλκον τὰς τριήρεις, ὡς ἐν ταῖς τριήρεσι σῴζοιντο, πάντες δὲ ᾤοντο ἀπολωλέναι, ὡς ἑαλωκυίας τῆς πόλεως. Ὁ δὲ Ἐτεόνικος εἰς τὴν ἀκρόπολιν ἀποφεύγει. Ὁ δὲ Ἀναξίβιος καταδραμὼν ἐπὶ θάλατταν ἐν ἁλιευτικῷ πλοίῳ περιέπλει εἰς τὴν ἀκρόπολιν καὶ εὐθὺς μεταπέμπεται ἐκ Καλχηδόνος φρουρούς· οὐ γὰρ ἱκανοὶ ἐδόκουν εἶναι οἱ ἐν τῇ ἀκροπόλει σχεῖν τοὺς ἄνδρας.

Οἱ δὲ στρατιῶται, ὡς εἶδον Ξενοφῶντα, προσπίπτουσι § 21 - 24
πολλοὶ αὐτῷ καὶ λέγουσι· « Νῦν σοι ἔξεστιν, ὦ Ξενοφῶν, ἀνδρὶ γενέσθαι. Ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους. Νῦν ἄν, εἰ βούλοιο, σύ τε ἡμᾶς ὀνήσαις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ἡμεῖς σὲ μέγαν ποιήσαιμεν ». Ὁ δ' ἀπεκρίνατο· « Ἀλλ' εὖ γε λέγετε καὶ ποιήσω ταῦτα· εἰ δὲ τούτων ἐπιθυμεῖτε, θέσθε τὰ ὅπλα ἐν τάξει ὡς τάχιστα ». Καὶ αὐτός τε παρηγγύα ταῦτα καὶ τοὺς ἄλλους ἐκέλευε παρεγγυᾶν. Οἱ δὲ αὐτοὶ ὑφ' ἑαυτῶν ταττόμενοι οἵ τε ὁπλῖται ἐν ὀλίγῳ χρόνῳ εἰς ὀκτὼ ἐγένοντο καὶ οἱ πελτασταὶ ἐπὶ τὸ κέρας ἑκάτερον παρεδεδραμήκεσαν. Τὸ δὲ χωρίον, τὸ Θρᾴκιον καλούμενον, ὡς κάλλιστον ἐκτάξασθαί ἐστιν, ἔρημον οἰκιῶν καὶ πεδινόν.

§ 25 Ἐπεὶ δὲ ἔκειτο τὰ ὅπλα καὶ κατηρεμίσθησαν, συγκαλεῖ ὁ Ξενοφῶν τὴν στρατιὰν καὶ λέγει τάδε· « Ὅτι μὲν ὀργίζεσθε, ὦ ἄνδρες στρατιῶται, καὶ νομίζετε δεινὰ πάσχειν ἐξαπατώμενοι, οὐ θαυμάζω. Ἢν δὲ τῷ θυμῷ χαριζώμεθα καὶ Λακεδαιμονίους τε τοὺς παρόντας τῆς ἐξαπάτης τιμωρησώμεθα καὶ τὴν πόλιν τὴν οὐδὲν αἰτίαν διαρπάσωμεν, ἐνθυμεῖσθε, ἃ ἔσται ἐντεῦθεν.

§ 26 - 27 » Πολέμιοι μὲν ἐσόμεθα ἀποδεδειγμένοι Λακεδαιμονίοις καὶ τοῖς συμμάχοις. Οἷος δ' ὁ πόλεμος ἂν γένοιτο, εἰκάζειν δὴ ἔξεστιν ἀναμνησθέντας τὰ νῦν δὴ γεγενημένα. Ἡμεῖς γὰρ οἱ Ἀθηναῖοι ἤλθομεν εἰς τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους καὶ τοὺς συμμάχους ἔχοντες τριήρεις τὰς μὲν ἐν θαλάττῃ, τὰς δ' ἐν τοῖς νεωρίοις οὐκ ἐλάττους τριακοσίων, ὑπαρχόντων δὲ πολλῶν χρημάτων ἐν τῇ ἀκροπόλει καὶ προσόδου οὔσης κατ' ἐνιαυτὸν ἀπό τε τῶν ἐνδήμων καὶ τῆς ὑπερορίας οὐ μεῖον χιλίων ταλάντων· ἄρχοντες δὲ τῶν νήσων ἁπασῶν καὶ ἔν τε τῇ Ἀσίᾳ πολλὰς ἔχοντες πόλεις καὶ ἐν τῇ Εὐρώπῃ ἄλλας τε πολλὰς καὶ αὐτὸ τὸ Βυζάντιον, ὅπου νῦν ἐσμεν, ἔχοντες κατεπολεμήθημεν οὕτως, ὡς πάντες ὑμεῖς ἐπίστασθε.

§ 28 » Νῦν δὲ δὴ τί ἂν οἰόμεθα παθεῖν, Λακεδαιμονίων μὲν καὶ τοὺς ἀρχαίους συμμάχους ἐχόντων, Ἀθηναίων δὲ καὶ τῶν ἐκείνοις τότε συμμάχων πάντων Λακεδαιμονίοις προσγε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γενημένων, Τισσαφέρνους δὲ καὶ τῶν ἐπὶ θαλάττη ἄλλων βαρβάρων πάντων πολεμίων ἡμῖν ὄντων, πολεμιωτάτου δὲ αὐτοῦ τοῦ ἄνω βασιλέως, ὃν ἤλθομεν ἀφαιρησόμενοι τὴν ἀρχὴν καὶ ἀποκτενοῦντες, εἰ δυναίμεθα ; Τούτων δὴ πάντων ὁμοῦ ὄντων, ἔστι τις οὕτως ἄφρων, ὅστις οἴεται ἂν ἡμᾶς περιγενέσθαι ;

» Μὴ πρὸς θεῶν μαινώμεθα μηδ' αἰσχρῶς ἀπολώμεθα πολέμιοι ὄντες καὶ ταῖς πατρίσι καὶ τοῖς ἡμετέροις φίλοις τε καὶ οἰκείοις. Πάντες γὰρ οὗτοι ἐν ταῖς πόλεσίν εἰσι ταῖς ἐφ' ἡμᾶς στρατευσομέναις, καὶ δικαίως, εἰ βάρβαρον μὲν πόλιν οὐδεμίαν ἠθελήσαμεν κατασχεῖν, καὶ ταῦτα κρατοῦντες, Ἑλληνίδα δὲ πόλιν πρώτην, εἰς ἣν ἤλθομεν, ἐκπορθήσομεν. Ἐγὼ μὲν τοίνυν εὔχομαι, πρὶν ταῦτα ἐπιδεῖν ὑφ' ὑμῶν γενόμενα, μυρίας κατὰ τῆς γῆς ὀργυιὰς γενέσθαι. Καὶ ὑμῖν δὲ συμβουλεύω Ἕλληνας ὄντας τοῖς τῶν Ἑλλήνων προεστηκόσι πειθομένους πειρᾶσθαι τῶν δικαίων τυγχάνειν. Ἐὰν δὲ μὴ δύνησθε ταῦτα, ἡμᾶς δεῖ ἀδικουμένους τῆς γοῦν Ἑλλάδος μὴ στέρεσθαι. Καὶ νῦν μοι δοκεῖ πέμψαντας Ἀναξιβίῳ πρέσβεις εἰπεῖν, ὅτι ἡμεῖς οὐδὲν βίαιον ποιήσοντες εἰσεληλύθαμεν εἰς τὴν πόλιν, ἀλλ' εὑρησόμενοι, ἢν δυνώμεθα, παρ' ὑμῶν ἀγαθόν τι, εἰ δὲ μή, δηλώσοντές γε, ὅτι οὐκ ἐξαπατώμενοι, ἀλλὰ πειθόμενοι ἐξερχόμεθα ». § 29 - 31

Ταῦτα ἔδοξε καὶ πέμπουσιν Ἱερώνυμόν τε Ἠλεῖον ἐροῦντα ταῦτα καὶ Εὐρύλοχον Ἀρκάδα καὶ Φιλήσιον Ἀχαιόν. Οἱ μὲν ταῦτα ᾤχοντο ἐροῦντες. § 32

*[ Μετὰ ταῦτα ὁ Ξενοφῶν ἀποχωρεῖ ἀπὸ τὸ στράτευμα, παρουσιάζεται δὲ εἰς αὐτὸ κάποιος Θηβαῖος τυχοδιώκτης, ὁ Κοιρατάδας, ὁ ὁποῖος ὑπόσχεται νὰ ὁδηγήσῃ τοὺς Ἕλληνας εἰς τὸ Δέλτα τῆς Θρᾴκης, παρέχων εἰς αὐτοὺς ἄφθονα τὰ τρόφιμα· οἱ Ἕλληνες, ἐπειδὴ ὁ Ἀναξίβιος οὐδὲν ὡρισμένον ἀπήντησε, δέχονται τὸν Κοιρατάδαν ὡς στρατηγὸν καὶ ἐξέρχονται ἐκ τοῦ Βυζαντίου· ἀλλ' ὁ Κοιρατάδας, ἐπειδὴ δὲν ἠδύ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νατο νὰ παρέχῃ τροφὴν δι' ὅλον τὸ στράτευμα, παραιτεῖται ἀπὸ τὴν στρατηγίαν καὶ ἀναχωρεῖ.

*Μετὰ τὴν ἀναχώρησιν τοῦ Κοιρατάδα τὸ στράτευμα διέμενεν εἰς κώμας τῆς Θρᾴκης κειμένας πέριξ τοῦ Βυζαντίου καὶ δὲν ἐγνώριζεν εἰς ποῖον μέρος νὰ διευθυνθῇ. Οἱ στρατηγοὶ ἐδιχονόουν, διότι ἄλλος μὲν ἤθελε νὰ ὁδηγήσῃ τὸν στρατὸν εἰς τὸν Σεύθην, τὸν ἡγεμόνα τῆς Θρᾴκης, ἄλλος δὲ εἰς τὴν Θρᾳκικὴν Χερσόνησον, ἄλλος δὲ ἤθελε νὰ διαβιβασθῇ πάλιν εἰς τὴν 'Ασίαν.*

*'Εν τῷ μεταξὺ φθάνει εἰς τὸ Βυζάντιον ὁ ἁρμοστὴς 'Αρίσταρχος ὡς διάδοχος τοῦ Κλεάνδρου καὶ ὁ ναύαρχος Πῶλος ὡς διάδοχος τοῦ 'Αναξιβίου· τῇ συμβουλῇ τοῦ τελευταίου πωλεῖ ὁ 'Αρίσταρχος 400 ὑπολειφθέντας εἰς τὸ Βυζάντιον στρατιώτας τοῦ Κύρου. 'Ο δὲ 'Αναξίβιος, ἀφοῦ ἔπλευσεν εἰς τὸ Πάριον μαζὶ μὲ τὸν Ξενοφῶντα, ἀποστέλλει εἰς τὸν Φαρνάβαζον ἀπεσταλμένους, διὰ νὰ τοῦ ὑπενθυμίσῃ, ὅ,τι τοῦ εἶχεν ὑποσχεθῇ. 'Αλλ' ὁ Φαρνάβαζος, ἀφοῦ ἔμαθεν, ὅτι ἦλθεν ἄλλος ἁρμοστὴς εἰς τὸ Βυζάντιον, ὁ 'Αρίσταρχος, καὶ ὅτι ὁ 'Αναξίβιος δὲν ἦτο πλέον ναύαρχος, οὐδὲν μὲν ἀποκρίνεται εἰς τὸν 'Αναξίβιον, διεξάγει δὲ μὲ τὸν 'Αρίσταρχον διαπραγματεύσεις περὶ τοῦ Κυρείου στρατεύματος. Τότε ὁ 'Αναξίβιος, διὰ νὰ ἐκδικηθῇ, παρακινεῖ τὸν Ξενοφῶντα νὰ ἐπιστρέψῃ εἰς τὸ στράτευμα καί, ἀφοῦ ὁδηγήσῃ ὅσον τὸ δυνατὸν περισσοτέρους εἰς τὴν Πέρινθον, νὰ διαβιβάσῃ αὐτοὺς εἰς τὴν 'Ασίαν πρὸς καταπολέμησιν τοῦ Φαρναβάζου.*

*'Ο Ξενοφῶν ἐπιστρέφει εἰς τὸ στράτευμα, οἱ δὲ στρατιῶται τὸν ὑποδέχονται μὲ μεγάλην χαρὰν καὶ εὐθὺς τὸν ἀκολουθοῦν, προθυμότατοι νὰ διαβιβασθοῦν ἐκ τῆς Θρᾴκης εἰς τὴν 'Ασίαν. 'Αλλ' ὁ νέος ἁρμοστὴς 'Αρίσταρχος, ὅπως εὐχαριστήσῃ τὸν Φαρνάβαζον, ἐμποδίζει αὐτοὺς νὰ διαβιβασθοῦν.*

*Εἰς τοιαύτην ἀμηχανίαν εὑρεθεὶς ὁ Ξενοφῶν μεταβαίνει μαζὶ μὲ ἄλλους στρατιώτας εἰς τὸν Σεύθην, ἀπὸ τὸν ὁποῖον ἐπανειλημμένως εἶχε παρακληθῇ νὰ φέρῃ εἰς αὐτὸν τὸ στράτευμα. 'Ο Σεύθης, ἐπειδὴ ἐπεθύμει νὰ ἀνακτήσῃ τὴν πατρικήν του ἀρχήν, τὴν ὁποίαν εἶχε στερηθῇ, ὑπόσχεται εἰς τὸν Ξενοφῶντα, ὅτι καὶ μεγάλους μισθοὺς καὶ χώραν καὶ ἄλλα θὰ δώσῃ εἰς τοὺς στρατιώτας, ἐὰν τὸν βοηθήσουν πρὸς ἐπιτυχίαν τοῦ σκοποῦ του.]*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 22. Προσχώρησις τῶν Ἑλλήνων πρὸς τὸν Σεύθην καὶ τὸ παρ' αὐτῷ δεῖπνον.

( **3**, 1 - 33 )

Ἀκούσαντες ταῦτα καὶ δεξιὰς δόντες καὶ λαβόντες ἀπή- § 1 - 2
λαυνον· καὶ πρὸ ἡμέρας ἐγένοντο ἐπὶ στρατοπέδῳ καὶ ἀπήγγειλαν ἕκαστοι τοῖς πέμψασιν. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, ὁ μὲν Ἀρίσταρχος πάλιν ἐκάλει τοὺς στρατηγοὺς καὶ λοχαγούς· τοῖς δ' ἔδοξε τὴν μὲν πρὸς Ἀρίσταρχον ὁδὸν ἐᾶσαι, τὸ δὲ στράτευμα συγκαλέσαι. Καὶ συνῆλθον πάντες πλὴν οἱ Νέωνος· οὗτοι δὲ ἀπεῖχον ὡς δέκα στάδια.

Ἐπεὶ δὲ συνῆλθον, ἀναστὰς Ξενοφῶν εἶπε τάδε· « Ἄν- § 3 - 6
δρες, διαπλεῖν μέν, ἔνθα βουλόμεθα, Ἀρίσταρχος τριήρεις ἔχων κωλύει· ὥστε εἰς πλοῖα οὐκ ἀσφαλὲς ἐμβαίνειν· οὗτος δὲ αὐτὸς κελεύει εἰς Χερρόνησον βίᾳ διὰ τοῦ Ἱεροῦ ὄρους πορεύεσθαι· ἢν δὲ κρατήσαντες τούτου ἐκεῖσε ἔλθωμεν, οὔτε πωλήσειν ἔτι ὑμᾶς φησιν, ὥσπερ ἐν Βυζαντίῳ, οὔτε ἐξαπατήσεσθαι ἔτι ὑμᾶς, ἀλλὰ λήψεσθαι μισθόν, οὔτε περιόψεσθαι ἔτι, ὥσπερ νυνί, δεομένους τῶν ἐπιτηδείων. Οὗτος μὲν ταῦτα λέγει· Σεύθης δέ φησιν, ἂν πρὸς ἐκεῖνον ἴητε, εὖ ποιήσειν ὑμᾶς. Νῦν οὖν σκέψασθε, πότερον ἐνθάδε μένοντες τοῦτο βουλεύσεσθε ἢ εἰς τὰ ἐπιτήδεια ἐπανελθόντες. Ἐμοὶ μὲν οὖν δοκεῖ, ἐπεὶ ἐνθάδε οὔτε ἀργύριον ἔχομεν, ὥστε ἀγοράζειν, οὔτε ἄνευ ἀργυρίου ἐῶσι λαμβάνειν, ἐπανελθόντας εἰς τὰς κώμας, ὅθεν οἱ ἥττους ἐῶσι λαμβάνειν, ἐκεῖ, ἔχοντας τὰ ἐπιτήδεια, ἀκούοντας, ὅ,τι τις ἡμῶν δεῖται, αἱρεῖσθαι, ὅ,τι ἂν ἡμῖν δοκῇ κράτιστον εἶναι. Καὶ ὅτῳ », ἔφη, « ταῦτα δοκεῖ, ἀράτω τὴν χεῖρα ». Ἀνέτειναν ἅπαντες. « Ἀπιόντες τοίνυν », ἔφη, « συσκευάζεσθε, καὶ ἐπειδὰν παραγγέλλῃ τις ἕπεσθε τῷ ἡγουμένῳ ».

Μετὰ ταῦτα Ξενοφῶν μὲν ἡγεῖτο, οἱ δ' εἵποντο. Νέων § 7 - 9
δὲ καὶ παρ' Ἀριστάρχου ἄγγελοι ἔπειθον ἀποτρέπεσθαι· οἱ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ' οὐχ ὑπήκουον. Ἐπεὶ δ' ὅσον τριάκοντα σταδίους προεληλύθεσαν, ἀπαντᾷ Σεύθης. Καὶ ὁ Ξενοφῶν ἰδὼν αὐτὸν προσελάσαι ἐκέλευσεν, ὅπως, ὅτι πλείστων ἀκουόντων, εἴποι αὐτῷ, ἃ ἐδόκει συμφέρειν. Ἐπεὶ δὲ προσῆλθεν, εἶπε Ξενοφῶν· « Ἡμεῖς πορευόμεθα, ὅπου μέλλει ἕξειν τὸ στράτευμα τροφήν· ἐκεῖ δ' ἀκούοντες καὶ σοῦ καὶ τῶν ἀγγέλων τοῦ Ἀριστάρχου αἱρησόμεθα, ἃ ἂν κράτιστα δοκῇ εἶναι. Ἢν οὖν ἡμῖν ἡγήσῃ, ὅπου πλεῖστά ἐστιν ἐπιτήδεια, ὑπὸ σοῦ νομιοῦμεν ξενίζεσθαι ». Καὶ ὁ Σεύθης ἔφη· « Ἀλλὰ οἶδα κώμας πολλὰς ἁθρόας καὶ πάντα ἐχούσας τὰ ἐπιτήδεια ἀπεχούσας ἡμῶν οὐ πολύ ». « Ἡγοῦ τοίνυν », ἔφη ὁ Ξενοφῶν.

§ 10 - 12 Ἐπεὶ δ' ἀφίκοντο εἰς αὐτὰς τῆς δείλης, συνῆλθον οἱ στρατιῶται, καὶ εἶπε Σεύθης τοιάδε· « Ἐγώ, ὦ ἄνδρες, δέομαι ὑμῶν στρατεύεσθαι σὺν ἐμοὶ καὶ ὑπισχνοῦμαι ὑμῖν δώσειν τοῖς στρατιώταις κυζικηνόν, λοχαγοῖς δὲ καὶ στρατηγοῖς τὰ νομιζόμενα· ἔξω δὲ τούτων τὸν ἄξιον τιμήσω. Σιτία δὲ καὶ ποτά, ὥσπερ καὶ νῦν, ἐκ τῆς χώρας λαμβάνοντες ἕξετε· ὁπόσα δ' ἂν ἁλίσκηται, ἀξιώσω αὐτὸς ἔχειν, ἵνα ταῦτα διατιθέμενος ὑμῖν τὸν μισθὸν πορίζω. Καὶ τὰ μὲν φεύγοντα καὶ ἀποδιδράσκοντα ἡμεῖς ἱκανοὶ ἐσόμεθα διώκειν καὶ ἀναζητεῖν· ἂν δέ τις ἀνθιστῆται, σὺν ὑμῖν πειρασόμεθα χειροῦσθαι ». Ἐπήρετο ὁ Ξενοφῶν· « Πόσον δὲ ἀπὸ θαλάττης ἀξιώσεις συνέπεσθαί σοι τὸ στράτευμα ; »Ὁ δ' ἀπεκρίνατο· « Οὐδαμῇ πλεῖον ἑπτὰ ἡμερῶν, μεῖον δὲ πολλαχῇ ».

§ 13 - 14 Μετὰ ταῦτα ἐδίδοτο λέγειν τῷ βουλομένῳ· καὶ ἔλεγον πολλοὶ κατὰ ταὐτά, ὅτι παντὸς ἄξια λέγει Σεύθης· χειμὼν γὰρ ἦν καὶ οὔτε οἴκαδε ἀποπλεῖν τῷ τοῦτο βουλομένῳ δυνατὸν ἦν, διαγενέσθαι τε ἐν φιλίᾳ οὐχ οἷόν τε, εἰ δέοι ὠνουμένους ζῆν, ἐν δὲ τῇ πολεμίᾳ διατρίβειν καὶ τρέφεσθαι ἀσφαλέστερον μετὰ Σεύθου ἢ μόνους. Ὄντων δ' ἀγαθῶν τοσούτων, εἰ μισθὸν προσλήψοιντο, εὕρημα ἐδόκει εἶναι. Μετὰ ταῦτα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶπεν ὁ Ξενοφῶν· « Εἴ τις ἀντιλέγει, λεγέτω· εἰ δὲ μή, ἐπιψηφιῶ ἐγὼ ταῦτα ». Ἐπεὶ δὲ οὐδεὶς ἀντέλεγεν, ἐπεψήφισε, καὶ ἔδοξε ταῦτα. Εὐθὺς δὲ Σεύθῃ εἶπεν, ὅτι συστρατεύσοιντο αὐτῷ.

Μετὰ τοῦτο οἱ μὲν ἄλλοι κατὰ τάξεις ἐσκήνησαν, στρα- § 15 - 17
τηγοὺς δὲ καὶ λοχαγοὺς ἐπὶ δεῖπνον Σεύθης ἐκάλεσε, πλησίον κώμην ἔχων. Ἐπεὶ δ' ἐπὶ θύραις ἦσαν ὡς ἐπὶ δεῖπνον παριόντες, Ἡρακλείδης τις Μαρωνείτης, ὃς ἦν ἐκεῖ, προσιὼν ἑνὶ ἑκάστῳ, οὕστινας ᾤετο ἔχειν τι δοῦναι Σεύθῃ, πρῶτον μὲν πρὸς Παριανούς τινας, οἳ παρῆσαν φιλίαν διαπραξόμενοι πρὸς Μήδοκον, τὸν Ὀδρυσῶν βασιλέα, καὶ δῶρα ἄγοντες αὐτῷ τε καὶ τῇ γυναικί, ἔλεγεν, ὅτι Μήδοκος μὲν ἄνω εἴη δώδεκα ἡμερῶν ἀπὸ θαλάττης ὁδόν, Σεύθης δ', ἐπεὶ τὸ στράτευμα τοῦτο εἴληφεν, ἄρχων ἔσοιτο ἐπὶ θαλάττῃ. « Γείτων οὖν ὢν ἱκανώτατος ἔσται ὑμᾶς καὶ εὖ καὶ κακῶς ποιεῖν. Ἢν οὖν σωφρονῆτε, τούτῳ δώσετε, ὅ,τι ἂν ἄγητε· καὶ ἄμεινον ὑμῖν διακείσεται ἢ ἐὰν Μηδόκῳ, τῷ πρόσω οἰκοῦντι, διδῶτε ». Τούτους μὲν οὕτως ἔπειθεν.

Αὖθις δὲ Τιμασίωνι τῷ Δαρδανεῖ προσελθών, ἐπεὶ ἤκου- § 18 - 20
σεν αὐτῷ εἶναι καὶ ἐκπώματα καὶ τάπιδας βαρβαρικάς, ἔλεγεν, ὅτι νομίζοιτο, ὁπότε ἐπὶ δεῖπνον καλέσαι Σεύθης, δωρεῖσθαι αὐτῷ τοὺς κληθέντας. « Οὗτος δ' ἢν μέγας ἐνθάδε γένηται, ἱκανὸς ἔσται σε καὶ οἴκαδε καταγαγεῖν καὶ ἐνθάδε πλούσιον ποιῆσαι ». Τοιαῦτα παρῄνει ἑκάστῳ προσιών. Προσελθὼν δὲ καὶ Ξενοφῶντι ἔλεγε· « Σὺ καὶ πόλεως μεγίστης εἶ καὶ παρὰ Σεύθῃ τὸ σὸν ὄνομα μέγιστόν ἐστι, καὶ ἐν τῇδε τῇ χώρᾳ ἴσως ἀξιώσεις καὶ τείχη λαμβάνειν, ὥσπερ καὶ ἄλλοι τῶν ὑμετέρων ἔλαβον, καὶ χώραν· ἄξιον οὖν σοι καὶ μεγαλοπρεπέστατα τιμῆσαι Σεύθην. Εὔνους δέ σοι ὢν παραινῶ· εὖ οἶδα γάρ, ὅτι, ὅσῳ ἂν μείζω τούτῳ δωρήσῃ, τοσούτῳ μείζω ὑπὸ τούτου ἀγαθὰ πείσει ». Ἀκούων ταῦτα Ξενοφῶν ἠπόρει· διεβεβήκει γὰρ ἐκ Παρίου οὐκ ἔχων, εἰ μὴ παῖδα καὶ ἐφόδιον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ 21 - 22 Ἐπεὶ δὲ εἰσῆλθον τῶν τε Θρᾳκῶν οἱ κράτιστοι τῶν παρόντων καὶ οἱ στρατηγοὶ καὶ οἱ λοχαγοὶ τῶν Ἑλλήνων καὶ οἱ πρέσβεις, ὅσοι παρῆσαν ἀπὸ πόλεως, ἐκαθέζοντο μὲν κύκλῳ ἐπὶ τὸ δεῖπνον· ἔπειτα δὲ τρίποδες εἰσηνέχθησαν πᾶσιν· οὗτοι δ' ἦσαν κρεῶν μεστοὶ νενεμημένων, καὶ ἄρτοι ζυμῖται μεγάλοι προσπεπερονημένοι ἦσαν πρὸς τοῖς κρέασι. Μάλιστα δ' αἱ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο· νόμος γὰρ ἦν. Καὶ πρῶτος τόδε ἐποίει Σεύθης· ἀνελόμενος τοὺς ἑαυτῷ παρακειμένους ἄρτους διέκλα κατὰ μικρὸν καὶ ἐρρίπτει, οἷς αὐτῷ ἐδόκει, καὶ τὰ κρέα ὡσαύτως, ὅσον μόνον γεύσασθαι ἑαυτῷ καταλιπών. Καὶ οἱ ἄλλοι δὲ κατὰ ταὐτὰ ἐποίουν, καθ' οὓς αἱ τράπεζαι ἔκειντο.

§ 23 - 25 Ἀρκὰς δέ τις, Ἀρύστας ὄνομα, φαγεῖν δεινός, τὸ μὲν διαρριπτεῖν εἴα χαίρειν, λαβὼν δὲ εἰς τὴν χεῖρα ὅσον τριχοίνικον ἄρτον καὶ κρέα θέμενος ἐπὶ τὰ γόνατα ἐδείπνει. Κέρατα δὲ οἴνου περιέφερον, καὶ πάντες ἐδέχοντο· ὁ δ' Ἀρύστας, ἐπεὶ παρ' αὐτὸν φέρων τὸ κέρας ὁ οἰνοχόος ἧκεν, εἶπεν ἰδὼν τὸν Ξενοφῶντα οὐκέτι δειπνοῦντα, « Ἐκείνῳ », ἔφη, « δός· σχολάζει γὰρ ἤδη, ἐγὼ δὲ οὐδέπω ». Ἀκούσας Σεύθης τὴν φωνὴν ἠρώτα τὸν οἰνοχόον, τί λέγει. Ὁ δὲ οἰνοχόος εἶπεν· ἑλληνίζειν γὰρ ἠπίστατο. Ἐνταῦθα μὲν δὴ γέλως ἐγένετο.

§ 26 - 28 Ἐπεὶ δὲ προὐχώρει ὁ πότος, εἰσῆλθεν ἀνὴρ Θρᾷξ ἵππον ἔχων λευκόν, καὶ λαβὼν κέρας μεστὸν εἶπε· « Προπίνω σοι, ὦ Σεύθη, καὶ τὸν ἵππον τοῦτον δωροῦμαι, ἐφ' οὗ καὶ διώκων, ὃν ἂν ἐθέλῃς, αἱρήσεις καὶ ἀποχωρῶν οὐ φοβήσει τὸν πολέμιον ». Ἄλλος παῖδα εἰσαγαγὼν οὕτως ἐδωρήσατο προπίνων, καὶ ἄλλος ἱμάτια τῇ γυναικί. Καὶ Τιμασίων προπίνων ἐδωρήσατο φιάλην τε ἀργυρᾶν καὶ τάπιδα ἀξίαν δέκα μνῶν. Γνήσιππος δέ τις Ἀθηναῖος ἀναστὰς εἶπεν, ὅτι ἀρχαῖος εἴη νόμος κάλλιστος τοὺς μὲν ἔχοντας διδόναι τῷ βασιλεῖ τιμῆς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἕνεκα, τοῖς δὲ μὴ ἔχουσι διδόναι τὸν βασιλέα « ἵνα καὶ ἐγώ », ἔφη, « ἔχω σοι δωρεῖσθαι καὶ τιμᾶν ».

Ὁ δὲ Ξενοφῶν ἠπορεῖτο, τί ποιήσει· καὶ γὰρ ἐτύγχανεν § 29 - 31
ὡς τιμώμενος ἐν τῷ πλησιαιτάτῳ δίφρῳ Σεύθῃ καθήμενος. Ὁ δὲ Ἡρακλείδης ἐκέλευεν αὐτῷ τὸ κέρας ὀρέξαι τὸν οἰνοχόον. Ὁ δὲ Ξενοφῶν ἀνέστη δεξάμενος τὸ κέρας καὶ εἶπεν· « Ἐγὼ δέ σοι, ὦ Σεύθη, δίδωμι ἐμαυτὸν καὶ τοὺς ἐμοὺς τούτους ἑταίρους φίλους πιστούς, καὶ οὐδένα ἄκοντα, ἀλλὰ πάντας μᾶλλον ἔτι ἐμοῦ σοι βουλομένους φίλους εἶναι. Καὶ νῦν πάρεισιν οὐδέν σε προσαιτοῦντες, ἀλλὰ καὶ προϊέμενοι καὶ πονεῖν ὑπὲρ σοῦ καὶ προκινδυνεύειν ἐθέλοντες· μεθ' ὧν, ἂν οἱ θεοὶ θέλωσι, πολλὴν χώραν τὴν μὲν ἀπολήψει πατρῴαν οὖσαν, τὴν δὲ κτήσει, πολλοὺς δὲ ἵππους, πολλοὺς δὲ ἄνδρας καὶ γυναῖκας κατακτήσει, οὓς οὐ λῄζεσθαί σε δεήσει, ἀλλ' αὐτοὶ φέροντες παρέσονται πρὸς σὲ δῶρα ». Ἀναστὰς ὁ Σεύθης συνεξέπιε τῷ Ξενοφῶντι.

Μετὰ ταῦτα εἰσῆλθον κέρασί τε οἵοις σημαίνουσιν αὐ- § 32 - 33
λοῦντες καὶ σάλπιγξιν ὠμοβοείαις ῥυθμούς τε καὶ οἷον μαγάδιδι σαλπίζοντες. Καὶ αὐτὸς Σεύθης ἀναστὰς ἀνέκραγέ τε πολεμικὸν καὶ ἐξήλατο, ὥσπερ βέλος φυλαττόμενος, μάλα ἐλαφρῶς. Εἰσῆσαν δὲ καὶ γελωτοποιοί.

*[ Μετὰ τὸ δεῖπνον περὶ τὴν δύσιν τοῦ ἡλίου οἱ λοχαγοὶ ἀπέρχονται εἰς τὸ στρατόπεδον· ὁ δὲ Σεύθης καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων ἐπιπίπτουν ἀνελπίστως κατὰ τῶν κωμῶν τῶν πολεμίων καὶ πολλὰ μὲν ἀνδράποδα, πολλὰ δὲ ζῷα συλλαμβάνουν.*

*Τὴν ἑπομένην ὁ Σεύθης κατακαίει τὰς κώμας καὶ στρατοπεδεύει εἰς τὴν πεδιάδα τῶν Θυνῶν· οὗτοι δέ, ἐπειδὴ ἐφοβήθησαν, ἐγκαταλείπουν τὰς κώμας των καὶ καταφεύγουν εἰς τὰ ὄρη. Μετ' ὀλίγας δὲ ἡμέρας συνάπτουν εἰρήνην μὲ τὸν Σεύθην καὶ δίδουν ὁμήρους. Ἀλλὰ κατά τινα νύκτα κατελθόντες ἐκ τοῦ ὄρους οἱ Θυνοὶ ἐπιτίθενται κατά τινος ὑπ' αὐτὸ ὑψηλότερον κειμένης κώμης, ὅπου κατεσκήνωνεν ὁ Ξενοφῶν, καὶ πυρπολοῦν αὐτήν.*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Τὴν ἑπομένην ὁ Ξενοφῶν μὲ τὸν στρατόν του καὶ μὲ τὸν στρατὸν τοῦ Σεύθου καὶ μὲ πολλοὺς ἐκ τῶν 'Οδρυσῶν, οἱ ὁποῖοι εἶχον προσέλθει εἰς τὸν Σεύθην, ἐκστρατεύει εἰς τὸ ὄρος, ὅπου εἶχον καταφύγει οἱ Θυνοί. Οὗτοι, ὅτε ἀπὸ τοῦ ὄρους εἶδον νὰ ἐπέρχεται ἐναντίον των τόσον πολυάριθμος στρατός, φοβηθέντες καταβαίνουν καὶ μὲ παρακλήσεις ζητοῦν καὶ συνομολογοῦν εἰρήνην μὲ τὸν Σεύθην.*

*Οἱ Ἕλληνες μὲ τὸν Σεύθην, ἀφοῦ διέβησαν τὰ ὄρη, ἔρχονται εἰς τὸ καλούμενον Δέλτα τῆς Θρᾴκης πρὸς τὰ βορειοδυτικὰ τοῦ Βυζαντίου. 'Εδῶ γεννῶνται δυσαρέσκειαι μεταξὺ τῶν Ἑλλήνων καὶ τοῦ Σεύθου, διότι ὁ ταμίας τοῦ Σεύθου Ἡρακλείδης κατεκράτησε μέρος τοῦ μισθοῦ τῶν Ἑλλήνων. Τῇ ἐπεμβάσει τοῦ Ξενοφῶντος αἱ δυσαρέσκειαι διελύθησαν καὶ ἐκστρατεύουν ὅλοι μαζὶ εἰς τὴν πρὸς βορρᾶν πλησίον τοῦ Εὐξείνου Πόντου κειμένην χώραν μέχρι τοῦ Σαλμυδησσοῦ. Ταύτην δὲ ἀφοῦ ὑπέταξαν, ἐπιστρέφουν καὶ στρατοπεδεύουν πλησίον τῆς Σηλυβρίας. 'Εδῶ ὁ Σεύθης, ἐπειδὴ ἐνόμισεν, ὅτι δὲν ἐχρειάζετο πλέον τοὺς Ἕλληνας, ἔπαυσε νὰ παρέχῃ μισθόν.*

*Κατ' ἐκεῖνον τὸν χρόνον ἀποφασίζουν οἱ Λακεδαιμόνιοι νὰ βοηθήσουν τὰς ἐν τῇ 'Ασίᾳ ἑλληνικὰς πόλεις κατὰ τοῦ Τισσαφέρνους καὶ ἀποστέλλουν μὲ τὸν σκοπὸν αὐτὸν εἰς τὴν Ἔφεσον τὸν Θίβρωνα. Οὗτος ἐπειδὴ δὲν εἶχεν ἀρκετὸν στρατόν, στέλλει δύο ἄνδρας εἰς τὴν Θρᾴκην, διὰ νὰ μισθώσουν ὑπὲρ τῶν Λακεδαιμονίων τοὺς Ἕλληνας.*

*Ὅτε ἔμαθον τοῦτο ὁ Ἡρακλείδης καὶ ὁ Σεύθης, οἱ ὁποῖοι ἐπεθύμουν νὰ ἀπαλλαγοῦν ἀπὸ τοὺς Ἕλληνας, ὁδηγοῦν τοὺς ἀπεσταλμένους τοῦ Θίβρωνος εἰς τὸ στράτευμα. Οἱ στρατιῶται μετ' εὐχαριστήσεως ἀκούουν τὰς προτάσεις τῶν ἀπεσταλμένων, μερικοὶ δὲ ἐκ τῶν 'Αρκάδων καὶ κατηγοροῦν τὸν Ξενοφῶντα, διότι δῆθεν ἐξ αἰτίας του τὸ στράτευμα, ἐνῷ θὰ ἠδύνατο νὰ εὑρίσκεται ἐν 'Ασίᾳ μετὰ τῶν Λακεδαιμονίων, ἠναγκάσθη νὰ ὑπηρετῇ ἐν μέσῳ πολλῶν κακουχιῶν τὸν Σεύθην, ὅστις αὐτὸν μὲν ἔκαμε πλουσιώτατον, τὸν δὲ μισθὸν τῶν στρατιωτῶν ἀποστερεῖ.*

*Ὁ Ξενοφῶν ἀποκρούει τὴν κατηγορίαν αὐτὴν διὰ πειστικωτάτου λόγου. Κατόπιν ὁμιλοῦν καὶ ἄλλοι ὑπὲρ τοῦ Ξενοφῶντος καὶ ἀπαιτοῦν νὰ εἰσπραχθῇ ὁ μισθός, τὸν ὁποῖον κατεκράτει ὁ Σεύθης. Ταῦτα ἀκούσαντες ὁ Ἡρακλείδης καὶ ὁ Σεύθης ἀπῆλθον ἀπὸ τὸ ἑλληνικὸν στρατόπεδον· ὁ δὲ Σεύθης ματαίως προσεπάθησε διὰ πολλῶν ὑποσχέσεων νὰ κρατήσῃ τὸν Ξενοφῶντα μετὰ χιλίων ὁπλιτῶν.*

*Μετὰ ταῦτα οἱ Ἕλληνες κατασκηνώνουν εἰς κώμας, ἀπὸ τὰς ὁ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*ποίας ἐσκόπευον, ἀφοῦ προμηθευθοῦν ἀφθονώτατα τὰ πρὸς συντήρησίν των, νὰ κατέλθουν εἰς τὴν θάλασσαν· αἱ δὲ κῶμαι αὗται εἶχον δωρηθῆ ἀπὸ τὸν Σεύθην εἰς τὸν Μηδοσάδην. Οὗτος, ἐπειδὴ ἔβλεπεν, ὅτι αἱ κῶμαι του ἐλεηλατοῦντο ὑπὸ τῶν Ἑλλήνων, ἀπαιτεῖ ἐν ὀνόματι τοῦ Σεύθου νὰ μὴ λεηλατοῦν αὐτὰς καὶ ν' ἀπέλθουν ἐκ τῆς χώρας του.*

*Ὁ Ξενοφῶν ὁμιλεῖ πρὸς τὸν Μηδοσάδην μετὰ πολλῆς πικρίας, διότι οὗτος λέγει εἰς τοὺς Ἕλληνας νὰ ἐγκαταλείψουν τὴν χώραν, τὴν ὁποίαν ἄνευ αὐτῶν δὲν θὰ εἶχεν ὁ Σεύθης· τὸν παραπέμπει δὲ εἰς τοὺς Λακεδαιμονίους, τοὺς ἄρχοντας τοῦ στρατεύματος. Ἐπειδὴ δὲ οἱ Λακεδαιμόνιοι ἀπήτησαν ἀπειλητικῶς νὰ δοθῇ εἰς τὸ στράτευμα ὁ ὀφειλόμενος μισθός, ὁ Μηδοσάδης προτείνει νὰ ἀναθέσουν τὴν ὑπόθεσιν εἰς τὸν Σεύθην.*

*Ὁ Ξενοφῶν ἐλθὼν εἰς τὸν Σεύθην ἀποδεικνύει δι' ἰσχυρῶν ἐπιχειρημάτων, ὅτι καὶ τὸ δίκαιον καὶ ἡ τιμὴ καὶ τὸ συμφέρον του καὶ ἡ εὐημερία τοῦ κράτους του ὑπαγορεύουν εἰς αὐτὸν νὰ ἐκπληρώσῃ τὰς πρὸς τοὺς Ἕλληνας ὑποχρεώσεις του. Ὁ Σεύθης πεισθεὶς εἰς τοὺς λόγους τοῦ Ξενοφῶντος ἀποδίδει τὰ ὀφειλόμενα, τὰ ὁποῖα οἱ Λακεδαιμόνιοι παραδίδουν εἰς τὸ στράτευμα.*

*Μετὰ ταῦτα ὁ Ξενοφῶν ἡτοιμάζετο ν' ἀναχωρήσῃ εἰς τὴν πατρίδα του· ἀλλὰ οἱ φίλοι του προσελθόντες τὸν καταπείθουν νὰ παραμείνῃ, ἕως ὅτου παραδώσῃ τὸν στρατὸν εἰς τὸν Θίβρωνα.]*

## 23. Ἐπιστροφὴ εἰς τὴν Ἀσίαν. Παράδοσις τοῦ στρατεύματος εἰς τὸν Θίβρωνα.

(**8**, 1 - 8, 24)

Ἐντεῦθεν διέπλευσεν εἰς Λάμψακον, καὶ ἀπαντᾷ τῷ Ξε- § 1 - 4
νοφῶντι Εὐκλείδης, μάντις Φλειάσιος, ὁ Κλεαγόρου υἱός· οὗτος συνήδετο τῷ Ξενοφῶντι, ὅτι ἐσέσωστο, καὶ ἠρώτα αὐτόν, πόσον χρυσίον ἔχοι. Ὁ δ' αὐτῷ ἐπομόσας εἶπεν ἦ μὴν ἕξειν μηδὲ ἐφόδιον, εἰ μὴ ἀπόδοιτο τὸν ἵππον καὶ ἃ ἀμφ' αὐτὸν εἶχεν. Ὁ δ' αὐτῷ οὐκ ἐπίστευεν. Ἐπεὶ δ' ἔπεμψαν Λαμψακηνοὶ ξένια τῷ Ξενοφῶντι καὶ ἔθυε τῷ Ἀπόλλωνι, παρεστήσατο τὸν Εὐκλείδην· ἰδὼν δὲ τὰ ἱερὰ ὁ Εὐκλείδης εἶπεν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὅτι πείθοιτο αὐτῷ μὴ εἶναι χρήματα. « Ἀλλ' οἶδα », ἔφη, « ὅτι, κἂν μέλλῃ ποτὲ ἔσεσθαι, φαίνεταί τι ἐμπόδιον, ἂν μηδὲν ἄλλο, σὺ σαυτῷ ». Συνωμολόγει ταῦτα ὁ Ξενοφῶν. Ὁ δὲ εἶπεν· « Ἐμπόδιος γάρ σοι ὁ Ζεὺς ὁ μειλίχιός ἐστι », καὶ ἐπήρετο, εἰ ἤδη θύσειεν, « ὥσπερ οἴκοι », ἔφη, « εἰώθειν ἐγὼ ὑμῖν θύεσθαι καὶ ὁλοκαυτεῖν ». Ὁ δ' οὐκ ἔφη, ἐξ ὅτου ἀπεδήμησε, τεθυκέναι τούτῳ τῷ θεῷ. Συνεβούλευσεν οὖν αὐτῷ θύεσθαι, ὥσπερ εἰώθει, καὶ ἔφη συνοίσειν ἐπὶ τὸ βέλτιον.

§ 5 - 6 Τῇ δὲ ὑστεραίᾳ, ὁ Ξενοφῶν προελθὼν εἰς Ὀφρύνιον ἐθύετο καὶ ὡλοκαύτει χοίρους τῷ πατρίῳ νόμῳ καὶ ἐκαλλιέρει. Καὶ ταύτῃ τῇ ἡμέρᾳ ἀφικνεῖται Βίων καὶ Ναυσικλείδης χρήματα δώσοντες τῷ στρατεύματι, καὶ ξενοῦνται τῷ Ξενοφῶντι καὶ ἵππον, ὃν ἐν Λαμψάκῳ ἀπέδοτο πεντήκοντα δαρεικῶν, ὑποπτεύοντες αὐτὸν δι' ἔνδειαν πεπρακέναι, ὅτι ἤκουον αὐτὸν ἥδεσθαι τῷ ἵππῳ, λυσάμενοι ἀπέδοσαν καὶ τὴν τιμὴν οὐκ ἤθελον ἀπολαβεῖν.

§ 7 - 8 Ἐντεῦθεν ἐπορεύοντο διὰ τῆς Τρῳάδος καὶ ὑπερβάντες καὶ Ἴδην εἰς Ἄντανδρον ἀφικνοῦνται πρῶτον, εἶτα παρὰ θάλατταν πορευόμενοι τῆς Μυσίας εἰς Θήβης πεδίον. Ἐντεῦθεν δι' Ἀδραμυττίου καὶ Κυτωνίου εἰς Καΐκου πεδίον ἐλθόντες Πέργαμον καταλαμβάνουσι τῆς Μυσίας.

§ 24 Ἐν τούτῳ Θίβρων παραγενόμενος παρέλαβε τὸ στράτευμα καὶ συμμείξας αὐτὸ τῷ ἄλλῳ Ἑλληνικῷ ἐπολέμει πρὸς Τισσαφέρνην καὶ Φαρνάβαζον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΜΕΡΟΣ Β'

# ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

## ( **1**, 1 - 11 )

§ **1 - 2. γίγνομαί τινος** γεννῶμαι ἀπό τινα. — **ὑποπτεύω τελευτὴν τοῦ βίου** προαισθάνομαι τὸ τέλος τῆς ζωῆς μου. — **τὼ παῖδε ἀμφοτέρω** = **τοὺς παῖδας ἀμφοτέρους**. — **παρεῖναι**, ἀπρμφ. τοῦ **πάρειμι** ( **παρὰ** + **εἰμὶ** ) εἶμαι παρών, παρευρίσκομαι. — **μεταπέμπομαι** προσκαλῶ. — **ἀρχὴ** ἡ χώρα, τὴν ὁποίαν διοικεῖ τις : ἡ σατραπεία. — **σατράπης** ἐλέγετο ὁ διοικητὴς μιᾶς ἐκ τῶν εἴκοσι μεγάλων διοικήσεων ἢ σατραπειῶν, εἰς τὰς ὁποίας ἦτο διῃρημένον τὸ περσικὸν κράτος· ἡ σατραπεία τοῦ Κύρου περιελάμβανε τὴν Λυδίαν, τὴν Μεγάλην Φρυγίαν καὶ τὴν Καππαδοκίαν ( βλ. χωρογρ. πίν. ). — **ἀπέδειξε**, ἀόρ. τοῦ **ἀποδείκνυμι** διορίζω. — **Καστωλὸς** πόλις τῆς Λυδίας, πιθανῶς πλησίον τῶν Σάρδεων· ἡ πεδιὰς τοῦ Καστωλοῦ ( **Καστωλοῦ πεδίον** ) ἦτο ὁ τόπος, ὅπου ἐγίνοντο κατ' ἔτος αἱ ἐπιθεωρήσεις τῶν στρατευμάτων τῆς σατραπείας τοῦ Κύρου. — **Τισσαφέρνης** σατράπης τῆς Καρίας. — **ὁπλῖται** ἐκαλοῦντο οἱ βαρέως ὡπλισμένοι πεζοὶ στρατιῶται· οὗτοι ἔφερον κράνος, θώρακα, κνημῖδας, ξίφος, ἀσπίδα καὶ δόρυ ( βλ. πίν. III ἐν τέλει τοῦ βιβλίου ). — **Παρράσιος** ὁ ἐκ τῆς Παρρασίας, χώρας τῆς Ἀρκαδίας. — **ἄρχων** ἀρχηγός.

§ **3. κατέστη**, ἀόρ. ὁριστ. τοῦ **καθίσταμαι· καθίσταμαι εἰς τὴν βασιλείαν** γίνομαι βασιλεύς. — **ἐπιβουλεύω τινὶ** ἐπιβουλεύομαί τινα, σχεδιάζω κακὸν ἐναντίον τινός. — **ἀποκτενῶν**, μέλλ. μτχ. τοῦ **ἀποκτείνω· ὡς ἀποκτενῶν** μὲ σκοπὸν νὰ ( τὸν ) φονεύσῃ. — **ἐξαιτοῦμαί τινα** ζητῶ ὡς ἰδικήν μου χάριν τὴν σωτηρίαν τινός : μὲ τὰς παρακλήσεις μου σῴζω τινά. — **ἀποπέμπω** ἀποστέλλω.

§ **4 - 5. ἀτιμάζομαι** προσβάλλομαι, ἐντροπιάζομαι. — **βουλεύομαι** σκέπτομαι. — **ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ** πῶς νὰ μὴ εἶναι ποτὲ πλέον εἰς τὴν ἐξουσίαν τοῦ ἀδελφοῦ του. — **δὴ** ὡς



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γνωστόν. — **ὑπάρχω τινὶ** εἶμαι ἐξ ἀρχῆς ὑπέρ τινος, ὑποστηρίζω τινά. — **φιλῶ** ἀγαπῶ. — **ἀφικνοῦμαι** ἔρχομαι. — **ἀποπέμπομαι** κατευοδώνω ἀπὸ πλησίον μου. — **διατιθείς**, ἐνεστ. μτχ. τοῦ **διατίθημι** διαθέτω. — **οἱ παρ' ἑαυτῷ βάρβαροι** οἱ βάρβαροι τῆς σατραπείας του. — **ἐπιμελοῦμαί τινος** φροντίζω διά τινα. — **εὐνοϊκῶς ἔχω τινὶ** εὐνοϊκῶς διάκειμαι ( εἶμαι ἀφωσιωμένος ) πρός τινα.

§ **6 - 7. δύναμις** στρατιωτικὴ δύναμις, στράτευμα. — **ὡς ἐδύνατο μάλιστα ἐπικρυπτόμενος** ὅσον ἠμποροῦσε περισσότερον κρυφίως. — **ὅτι ἀπαρασκευότατον** ὅσον τὸ δυνατὸν ἀπαράσκευον. — **λαμβάνω** καταλαμβάνω, εὑρίσκω. — **συλλογὴ** συνάθροισις στρατοῦ, στρατολογία. — **φυλακὴ** φρουρά. — **τοῖς φρουράρχοις ἑκάστοις** = **ἑκάστῳ τῶν φρουράρχων** ( **τούτων**, δηλ. **τῶν φυλακῶν** ). — **λαμβάνω**, ἐδῶ : στρατολογῶ, προσλαμβάνω ὡς μισθοφόρους. — **ὅτι πλείστους καὶ βελτίστους** ὅσον τὸ δυνατὸν περισσοτέρους καὶ γενναιοτέρους. — **ὡς ἐπιβουλεύοντος Τισσ. ταῖς πόλεσι** διότι δῆθεν ὁ Τισσ. ἐπεβουλεύετο ( αὐτὰς ) τὰς πόλεις. — **καὶ γὰρ** καθόσον μάλιστα. — **τὸ ἀρχαῖον** ἐξ ἀρχῆς, ἀρχικῶς. — **ἀφειστήκεσαν**, ὑπερσυντλκ. τοῦ **ἀφίσταμαι** ἀποστατῶ. — **προαισθόμενος**, ἀόρ. μτχ. τοῦ **προαισθάνομαι**. — **ἐκβάλλω** ἐξορίζω. — **ὑπολαμβάνω τοὺς φεύγοντας** λαμβάνω ὑπὸ τὴν προστασίαν μου τοὺς ἐξορίστους. — **πειρῶμαι** προσπαθῶ. — **κατάγω τινὰ** ἐπαναφέρω τινὰ ( ἐξόριστον ) εἰς τὴν πατρίδα του. — **ἐκπεπτωκότας**, πρκμ. μτχ. τοῦ **ἐκπίπτω** ἐξορίζομαι. — **καὶ αὕτη** καὶ τοῦτο ( τὸ ὅτι δηλ. ἐπολιόρκει τὴν Μίλητον ). — **αὖ** πάλιν.

§ **8. ἀξιῶ** προβάλλω τὴν ἀξίωσιν. — **οἱ** = **αὐτῷ** ( τῷ Κύρῳ ). — **συμπράττω τινί τι** βοηθῶ τινα εἴς τι. — **ἐπιβουλὴ πρός τινα** ἐχθρικὰ σχέδια ἐναντίον τινός. — **ἀμφὶ τὰ στρατεύματα** εἰς συντήρησιν τῶν στρατευμάτων. — **οὐδὲν ἄχθομαι** διόλου δὲν δυσαρεστοῦμαι. — **οἱ γιγνόμενοι δασμοὶ** οἱ εἰσπραττόμενοι φόροι. — **ἐκ τῶν πόλεων, ὧν** = **ἐκ τῶν πόλεων, ἅς**.

§ **9. αὐτῷ** χάριν αὐτοῦ ( τοῦ Κύρου ). — **Χερρόνησος** ἡ Θρᾳκικὴ Χερσόνησος ἡ παρὰ τὸν Ἑλλήσποντον. — **καταντιπέραν** ἀπέναντι. — **Ἄβυδος** ἀρχαία πόλις τῆς Τρῳάδος εἰς τὸ στενότατον μέρος τοῦ Ἑλλησπόντου. — **φυγὰς** ἐξόριστος. — **συγγενόμενος**, ἀόρ. μτχ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ **συγγίγνομαί τινι** σχετίζομαι μέ τινα. — **ἠγάσθη**, ἀόρ. ὁριστ. τοῦ **ἄγαμαι** ἐκτιμῶ πολύ. — **μύριοι** δέκα χιλιάδες. — **δαρεικὸς** περσικὸν νόμισμα χρυσοῦν κοπὲν ἐπὶ τοῦ βασιλέως Δαρείου· εἶχεν ἀξίαν 20 δραχμῶν ἀττικῶν ( ἡ ἀττικὴ δραχμὴ=8 σημεριναὶ χρυσαῖ ). — **χρυσίον** χρυσᾶ νομίσματα, χρήματα. — **ὁρμῶμαι ἐκ Χερρονήσου** ἔχω τὴν Χερσόνησον ὡς ὁρμητήριον. — **ὑπὲρ Ἑλλήσποντον** ὑπεράνω τοῦ Ἑλλησπόντου. — **συμβάλλομαί τινι εἰς τὴν τροφὴν** συνεισφέρω εἴς τινα διὰ τὴν συντήρησιν. — **ἑκών, ἑκοῦσα, ἑκὸν** θέλων, ἑκουσίως, θεληματικῶς. — **τὸ στράτευμα λανθάνει τρεφόμενον** τὸ στράτευμα συντηρεῖται κρυφίως ( χωρὶς νὰ τὸ ἀντιλαμβάνεται κανείς ).

§ **10**. **ξένος** φίλος ( ἐκ ξένης χώρας ). — **οἴκοι** ἐν τῇ πατρίδι. — **ἀντιστασιώτης** ἀντίπαλος πολιτικός. — **αἰτῶ τινα** ζητῶ παρά τινος. — **εἰς**, πρὸ τῶν ἀριθμητικῶν : ἕως. — **ξένος**, ἐδῶ : μισθοφόρος. — **τριῶν μηνῶν μισθὸν** χρήματα διὰ μισθοδοσίαν ( τούτων, τῶν δισχιλίων περίπου μισθοφόρων ) τριῶν μηνῶν. — **περιγίγνομαί τινος** ὑπερισχύω τινός, καταβάλλω τινά. — **δέομαί τινος** παρακαλῶ τινα. — **πρόσθεν** πρότερον. — **καταλύω πρός τινα** συμφιλιώνομαι μέ τινα. — **συμβουλεύομαί τινι** ζητῶ τὴν συμβουλήν, τὴν γνώμην τινός.

§ **11**. **κελεύω τινὰ** παραγγέλλω εἴς τινα. — **παραγίγνομαι** προσέρχομαι, ἔρχομαι πλησίον ( τινός ). — **ὡς βουλόμενος** διότι τάχα ἤθελε. — **Πισίδαι** κάτοικοι τῆς ἀρχαίας Πισιδίας, χώρας εἰς τὰ νότια τῆς Μ. Ἀσίας. — **πράγματα παρέχω τινὶ** ἐνοχλήσεις παρέχω εἴς τινα, ἐνοχλῶ τινα. — **Στυμφάλιος** ὁ ἐκ τῆς Στυμφάλου, πόλεως τῆς βορείου Ἀρκαδίας. — **ὡς πολεμήσων** διότι δῆθεν ἐσκόπευε νὰ πολεμήσῃ.

( **2**, 1 - 18 )

§ **1**. **δοκεῖ μοι** φαίνεται εἰς ἐμὲ καλόν, ἀποφασίζω. — **ἤδη** πλέον. — **ἄνω** εἰς τὰ μεσόγεια, εἰς τὸ ἐσωτερικὸν τῆς Ἀσίας. — **τὴν πρόφασιν ποιοῦμαι** προφασίζομαι. — **ὡς βουλόμενος**, ἐδῶ : ὅτι τάχα ἤθελε. — **ὡς ἐπὶ τούτους** δῆθεν ἐναντίον τούτων. — **ἥκειν** νὰ ἔλθῃ. — **συναλλαγέντι**, ἀόρ. μτχ. τοῦ **συναλλάττομαι πρός τινα** συμφιλιώνομαι μέ τινα. — **οἱ οἴκοι** ( **ἀντιστασιῶται** ) οἱ ἐν τῇ πατρίδι πολιτι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κοὶ ἀντίπαλοι. — **προειστήκει** ἦτο ἀρχηγός· ὑπερσυντλ. τοῦ **προΐσταμαι**. — **ἐν ταῖς πόλεσι**, δηλ. ταῖς Ἰωνικαῖς. — **τὸ ξενικὸν** τὸ μισθοφορικὸν στράτευμα.

§ **2 - 3. καταπράττω** φέρω εἰς καλὸν πέρας. — **ἐφ ἃ** ἐκεῖνα, διὰ τὰ ὁποῖα. — **παύομαι ( τοῦ πολέμου )** παύω τὸν πόλεμον. — **καταγάγοι**, ἀόρ. εὐκτ. τοῦ **κατάγω** ( βλ. κεφ. 1, § 6 - 7, σελ. 114 ). — **οἴκαδε** εἰς τὴν πατρίδα. — **πιστεύω τινὶ** ἔχω ἐμπιστοσύνην εἴς τινα. — **παρῆσαν εἰς Σάρδεις** ἦλθον εἰς τὰς Σάρδεις. — **παραγίγνομαι** ( βλ. κεφ. 1, § 11, σελ. 115). — **γυμνὴς** ( ἢ **γυμνήτης**) ἐκαλεῖτο ὁ ἐλαφρῶς ὡπλισμένος πεζὸς στρατιώτης, ὁ ὁποῖος ἔφερεν ἢ σφενδόνην ( **σφενδονήτης** ) ἢ ἀκόντιον ( **ἀκοντιστὴς** ) ἢ τόξον ( **τοξότης** ). — **πελταστὴς** ἐκαλεῖτο ὁ φέρων δόρυ, ξίφος καὶ μικρὰν ἡμισεληνοειδῆ ἀσπίδα, τὴν **πέλτην**. — **στρατεύομαι ἀμφὶ Μίλητον** πολιορκῶ τὴν Μίλητον.

§ **4. ἡγοῦμαι** νομίζω. — **ἢ ὡς ἐπὶ Πισίδας** παρὰ ὅση θὰ ἐχρειάζετο ἐναντίον τῶν Πισιδῶν. — **ᾗ ἐδύνατο** = **ὡς ἐδύνατο** ( κεφ. 1, § 6 - 7, σελ. 114 ). — **στόλος** ἡ ἑτοιμασία πρὸς ἐκστρατείαν.— **ἀντιπαρασκευάζομαι** παρασκευάζομαι καὶ ἐγὼ ἐναντίον ἄλλου παρασκευαζομένου.

§ **5 - 6. ὁρμῶμαι** ξεκινῶ. — **ἐξελαύνω... ἐπὶ** ἢ **εἰς** προχωρῶ... καὶ φθάνω εἰς. — **σταθμός**, ἡ λ. σημαίνει ἀπόστασιν διανυομένην ἐντὸς μιᾶς ἡμέρας. — **παρασάγγης** μονὰς μετρήσεως μήκους παρὰ τοῖς Πέρσαις· ἰσοδυναμεῖ πρὸς $5^1/_2$ καὶ πλέον σημερινὰ χιλιόμετρα. — **εὖρος** πλάτος. — **πλέθρον** μονὰς μήκους τριάκοντα καὶ ἑνὸς μέτρων. — **ἐζευγμένη ἑπτὰ πλοίοις** ἀποτελουμένη ἀπὸ ἑπτὰ συνεζευγμένα πλοῖα. — **Δόλοπες** λαὸς θεσσαλικὸς πλησίον εἰς τὴν Πίνδον. — **Αἰνιᾶνες** λαὸς θεσσαλικὸς πλησίον τῆς Οἴτης καὶ τοῦ Σπερχειοῦ. — **Ὀλύνθιοι** κάτοικοι τῆς Ὀλύνθου, ἀρχαίας πόλεως τῆς Χαλκιδικῆς Χερσονήσου.

§ **7 - 8. βασίλεια** ἀνάκτορα. — **παράδεισος** περιπεφραγμένος τόπος ἀναψυχῆς καὶ διασκεδάσεως, κατάφυτος καὶ πλήρης ἀγρίων ζῴων. — **μέγας βασιλεὺς** ἐκαλεῖτο ὁ βασιλεὺς τοῦ περσικοῦ κράτους. — **ἐρυμνὸς** ὀχυρός. — **ἐμβάλλω**, ἐπὶ ποταμοῦ = χύνομαι.

§ **9 - 10. ἐξέτασις** ἐπιθεώρησις. — **ἀριθμὸς** ἀρίθμησις. — **γίγνο-**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**μαι** ἐπὶ ποσῶν καὶ ἀριθμῶν : συμποσοῦμαι εἰς, ἀνέρχομαι εἰς. — **Πέλται** πόλις τῆς Φρυγίας. — **τὰ Λύκαια** ἑορτὴ πρὸς τιμὴν τοῦ Λυκαίου Διὸς τελουμένη ἐπὶ τοῦ Λυκαίου ὄρους ἐν 'Αρκαδίᾳ· **θύω τὰ Λύκαια** μὲ θυσίας ἑορτάζω τὰ Λύκαια. — **τίθημι ἀγῶνα** διοργανώνω ( ἀθλητικὸν ) ἀγῶνα. — **στλεγγὶς** κόσμημα τῆς κεφαλῆς ἐν εἴδει κτενίου. — **θεωρῶ τὸν ἀγῶνα** παρίσταμαι ὡς θεατὴς εἰς τὸν ἀγῶνα.

§ **11 - 13. Καΰστρου πεδίον** πόλις τῆς Φρυγίας. — **ἰόντες**, μτχ. τοῦ **ἔρχομαι.** — **αἱ θύραι** ( **Κύρου** ) ἡ σκηνὴ ( τοῦ Κύρου ). — **ἐλπίδας λέγων διῆγε** διαρκῶς ἔλεγεν ( εἰς αὐτοὺς ) νὰ ἐλπίζουν. — **δῆλός εἰμι** μετὰ μτχ. : εἶναι φανερὸν ὅτι ἐγώ... — **ἀνιῶμαι** λυποῦμαι, στενοχωροῦμαι. — **πρὸς τοῦ τρόπου** ( **τοῦ** ) **Κύρου** σύμφωνον πρὸς τὸν χαρακτῆρα ( ἴδιον τοῦ χαρακτῆρος ) τοῦ Κ. — **ἀποδίδωμι** πληρώνω τὰ ὀφειλόμενα. — **δ' οὖν** ὁπωσδήποτε. — **ἡ Κίλισσα** ἡ βασίλισσα τῆς Κιλικίας. — **φυλακὴ** σωματοφυλακή. — **'Ασπένδιος** ὁ ἐκ τῆς 'Ασπένδου, πόλεως τῆς Παμφυλίας εἰς τὴν Μ. 'Ασίαν.

§ **14 - 16. δεηθῆναι**, ἀόρ. τοῦ **δέομαί τινος** ( βλ. κεφ. 1, § 10, σελ. 115 ). — **νόμος** ( **ἐστὶ** ) **τινι** ὑπάρχει συνήθεια εἴς τινα, συνηθίζει τις. — **ἐπὶ τεττάρων** εἰς βάθος τεσσάρων ἀνδρῶν, εἰς τέσσαρας σειράς. — **θεωρῶ**, ἐδῶ : ἐπιθεωρῶ. — **παρελαύνω** περνῶ ἔμπροσθεν. — **ἴλη** τμῆμα ἱππικοῦ 64 ἀνδρῶν. — **τάξις** τμῆμα πεζικοῦ 100 ἀνδρῶν. — **ἅρμα** πολεμικὸν ὄχημα μὲ δύο τροχούς, ὀπίσω μόνον ἀνοικτὸν καὶ ἀσκεπές. — **ἁρμάμαξα** ὄχημα μὲ τέσσαρας τροχούς, ὀπίσω καὶ ἐπάνω κλειστόν, εἰς δὲ τὰ πλάγια μόνον μὲ παραπετάσματα, χρησιμεῦον εἰς τὰς ὁδοιπορίας πρὸς μεταφορὰν ἐπιφανῶν προσώπων, ἰδίως δὲ γυναικῶν. — **φοινικοῦς** κόκκινος. — **ἐκκαλύπτομαι** ξεσκεπάζομαι· **ἀσπὶς ἐκκεκαλυμμένη** ἀσπὶς χωρὶς τὸ ( συνήθως δερμάτινον ) κάλυμμά της.

§ **17 - 18. παρελαύνω τινὰ** περνῶ ἔμπροσθέν τινος. — **πρὸ τῆς φάλαγγος μέσης** πρὸ τοῦ μέσου τῆς φάλαγγος· **φάλαγξ** δὲ ὁ ὅλος στρατὸς παρατεταγμένος πρὸς μάχην. — **προβάλλομαι** προτείνω. — **τὰ ὅπλα**, δηλ. τὰ δόρατα ( πρὸς ἐπίθεσιν ) καὶ τὰς ἀσπίδας ( πρὸς ἄμυναν ). — **ἐπιχωρῶ** προχωρῶ ὡς εἰς ἐπίθεσιν. — **προλέγω τί τινι** ἀνακοινώνω τι εἴς τινα. — **ἐπῇσαν**, πρτκ. τοῦ **ἐπέρχομαι.** — **ἐκ**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**τούτου** μετὰ τοῦτο. — **τῶν στρατιωτῶν θᾶττον προϊόντων** ἐπειδὴ οἱ στρατιῶται ἐπροχώρουν ταχύτερον ( παρ' ὅσον ἔπρεπεν ). — **ἀπὸ τοῦ αὐτομάτου** μόνοι των, χωρὶς καμίαν διαταγήν. — **δρόμος ἐγένετο αὐτοῖς** = ἔτρεξαν αὐτοί : τροχάδην διηυθύνθησαν αὐτοί. — **οἱ ἐν τῇ ἀγορᾷ** οἱ ἄνθρωποι τῆς ἀγορᾶς, οἱ ἔμποροι. — **τὰ ὤνια** τὰ ( πρὸς πώλησιν ἐν τῇ ἀγορᾷ ) ἐμπορεύματα. — **ἥσθη**, ἀόρ. τοῦ **ἥδομαι** εὐχαριστοῦμαι.

( **8**, 1 - 27 )

§ **1 - 3. πλήθω** εἶμαι γεμάτος· **ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν** ἦτο ἡ ὥρα, κατὰ τὴν ὁποίαν ἡ ἀγορὰ εἶναι γεμάτη ἀπὸ ἀνθρώπους ( δηλ. ὁ χρόνος ἀπὸ 9 - 11$^1/_2$ π.μ. περίπου ). — **σταθμὸς** κατάλυμα, τόπος ( πρὸς διαμονὴν στρατιωτῶν ). — **καταλύω** σταθμεύω. — **ἡνίκα** ὁπότε. — **προφαίνομαι** φαίνομαι μακρόθεν, προβάλλω. — **ἐλαύνω** τρέχω ἔφιππος. — **ἀνὰ κράτος** ὁλοταχῶς. — **ἱδροῦντι τῷ ἵππῳ** μὲ ἱδρωμένον τὸν ἵππον του. — **ἐντυγχάνω τινὶ** συναντῶ τινα. — **τάραχος** ταραχή. — **δοκῶ** νομίζω. — ( **βασιλέα** ) **αὐτίκα ἐπιπεσεῖσθαι σφίσιν ἀτάκτοις** ( **οὖσι** ) ὅτι ὁ βασιλεὺς ἀμέσως θὰ ἐπιπέσῃ κατ' αὐτῶν εὑρισκομένων εἰς ἀταξίαν. — **παλτὸν** ἀκόντιον. — **καθίσταμαι** τοποθετοῦμαι.

§ **4 - 7. σπουδὴ** βία. — **ἐχόμενος** ( δηλ. **τοῦ Κλεάρχου** ) πλησίον τοῦ Κλ. ( βλ. πίν. VII ἐν τέλει τοῦ βιβλίου ). — **ἔσχε**, ἀόρ. τοῦ **ἔχω** καταλαμβάνω. — **τὸ πελταστικὸν** οἱ πελτασταί. — **ὕπαρχος** ὑπαρχηγός. — **ὅσον** περίπου. — **παραμηρίδια** μετάλλινα καλύμματα προφυλάσσοντα τοὺς μηρούς. — **ψιλὴ** ἀπροφύλακτος ( ἄνευ δηλ. κράνους ). — **καθίσταμαι εἰς τὴν μάχην** προσέρχομαι εἰς τὴν μάχην. — **προμετωπίδια καὶ προστερνίδια** ταῦτα ἦσαν μετάλλινα καλύμματα προφυλάσσοντα τὸ μέτωπον καὶ τὸ στέρνον ( τὸ στῆθος ) τῶν πολεμικῶν ἵππων. — **Ἑλληνικὴ μάχαιρα** αὕτη ἦτο ξίφος ὀλίγον κυρτὸν μὲ μίαν κόψιν.

§ **8 - 11. μέσον ἡμέρας** μεσημβρία. — **δείλη** τὸ μετὰ μεσημβρίαν χρονικὸν διάστημα τῆς ἡμέρας, τὸ ὁποῖον ἐχωρίζετο ἐξ ἡμισείας εἰς **δείλην πρωΐαν** καὶ **δείλην ὀψίαν**. — **χρόνῳ συχνῷ ὕστερον** μετὰ πολὺν χρόνον. — **μελανία** μαυρίλα. — **ἐπὶ πολὺ** εἰς μεγάλην ἔκ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τασιν. — **τάχα δὴ** εὐθὺς πλέον. — **ἐχόμενοι** ( δηλ. **τούτων ἦσαν** ) κατόπιν τούτων ἦσαν. — **γερροφόροι** στρατιῶται φέροντες γέρρα· τὰ **γέρρα** ἦσαν τετράγωνοι ἐπιμήκεις ἀσπίδες πλεκταὶ ἀπὸ κλάδους ἰτέας ἢ λύγου· μερικὰ ἔθνη ἐπεκάλυπτον αὐτὰς μὲ ἀκατέργαστα δέρματα βοῶν. — **ἀσπὶς ποδήρης** ἀσπὶς μακρὰ ἕως εἰς τοὺς πόδας κάτω. — **πλαίσιον** παράταξις τοιαύτη, ὥστε νὰ σχηματίζεται τετράγωνον. — **διαλείπω** ἀπέχω. — **συχνὸν** ( ἐπίρρ. ) πολύ. — **ἀποτεταμένα**, πρκμ. τοῦ **ἀποτείνομαι** προεκτείνομαι. — **δίφρος** τὸ κύριον μέρος τοῦ ἅρματος, ὅπου ἐστέκετο ὁ ὁδηγῶν τὸ ἅρμα, ὁ ἡνίοχος ( βλ. εἰκ. δρεπανηφόρου ἅρματος, πίν. IV ἐν τέλει τοῦ βιβλίου ). — **βλέποντα** ἐστραμμένα. — **ὡς διακόπτειν** = **ὥστε διακόπτειν· διακόπτω** κόπτω εἰς δύο, κατακόπτω.

§ **12 - 13. παρελαύνω** διέρχομαι ( περνῶ ) ἔφιππος. — **πάντα ἡμῖν πεποίηται** τὸ πᾶν ἔχομεν κατορθώσει. — **τὸ μέσον στῖφος** τὸ ἐν τῷ κέντρῳ τῆς ἐχθρικῆς παρατάξεως στῖφος ( δηλ. τοὺς πρὸ τοῦ βασιλέως ὑπὸ τὸν Ἀρταγέρσην ἑξακισχιλίους ἱππεῖς ). — **περιῆν**, πρτκ. τοῦ **περίειμι** εἶμαι ὑπέρτερος, ὑπερέχω. — **τοῦ Κύρου εὐωνύμου ἔξω ἦν** ( βλ. πίν. VII ἐν τέλει τοῦ βιβλίου ). — **ἀποσπῶ** ἀπομακρύνω. — **ἑκατέρωθεν** καὶ ἀπὸ τὰ δύο μέρη. — **μέλει μοι** φροντίζω. — **ὅπως καλῶς ἔχοι** ( **τὸ πρᾶγμα** ) πῶς τὸ πρᾶγμα ( ἡ μάχη ) ν' ἀποβῇ καλῶς.

§ **14 - 16. ὁμαλῶς** μὲ κανονικὸν βάδισμα. — **προῄει**, πρτκ. τοῦ **προέρχομαι** προχωρῶ. — **ἔτι** ἀκόμη. — **ἐν τῷ αὐτῷ** ( **τόπῳ** ) εἰς τὴν ἰδίαν θέσιν. — **οὐ πάνυ πρός τινι** οὐχὶ πολὺ πλησίον τινός. — **καταθεῶμαι** παρατηρῶ καλῶς. — **ἑκατέρωσε** καὶ πρὸς τὸ ἓν μέρος καὶ πρὸς τὸ ἄλλο. — **ἀποβλέπω** κατευθύνω τὸ βλέμμα μου. — **ὑπελάσας**, ἀόρ. τοῦ **ὑπελαύνω** προστρέχω πλαγίως ἔφιππος. — **ὡς συναντῆσαι** = **ὥστε συναντῆσαι**. — **ἤρετο**, ἀόρ. β' τοῦ **ἐρωτῶ**. — **ἐπιστήσας**, δηλ. **τὸν ἵππον· ἐφίστημι** σταματῶ. — **ἱερὰ** τὰ μαντικὰ σημεῖα τὰ φαινόμενα εἰς τὰ σπλάγχνα τῶν θυσιαζομένων ζῴων. — **σφάγια** τὰ μαντικὰ σημεῖα τὰ παρατηρούμενα εἰς τὰ πρὸς θυσίαν ζῷα πρὸ τῆς σφαγῆς καὶ κατ' αὐτήν. — **ἰόντος** νὰ διέρχεται ( νὰ περνᾷ ). — **τὸ σύνθημα παρέρχεται δεύτερον** τὸ σύνθημα διέρχεται ( διὰ τῶν τάξεων ) διὰ δευτέραν φοράν· τὸ σύνθημα ἐδίδετο ὑπὸ τοῦ ἀρχηγοῦ εἰς τοὺς ἱσταμένους πλησίον του ἄνδρας καὶ κατόπιν μετεδίδετο ἀπὸ τὸν ἕνα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰς τὸν ἄλλον μέχρι τοῦ τελευταίου ἐν τῇ παρατάξει στρατιώτου· ἀπὸ τοῦτον δὲ πάλιν μετεδίδετο κατὰ τὸν ἴδιον τρόπον ἀντιστρόφως μέχρι τοῦ ἀρχηγοῦ. — **καὶ ὃς** καὶ οὗτος. — **θαυμάζω** ἀπορῶ, παραξενεύομαι. — **παραγγέλλω** ( **τὸ σύνθημα** ) δίδω τὸ σύνθημα. — **χώρα** θέσις.

§ 17 - 20. **στάδιον** ἀρχαία μονὰς μήκους· ἰσοδυναμεῖ πρὸς 185 περίπου μέτρα. — **τὼ φάλαγγε διειχέτην** = **αἱ δύο φάλαγγες διεῖχον· διέχω** ἀπέχω, εὑρίσκομαι μακράν. — **παιανίζω** ψάλλω τὸν παιᾶνα· **παιὰν** ᾆσμα πολεμικόν, τὸ ὁποῖον ἔψαλλον οἱ Ἕλληνες πρὸ τῆς μάχης πρὸς τιμὴν τοῦ Ἄρεως. — **ἤρχοντο**, πρτκ. τοῦ **ἄρχομαι** ἀρχίζω, κάμνω ἀρχήν. — **ἀντίος ἔρχομαί τινι** ἐπέρχομαι ἀντιμέτωπος κατά τινος. — **ἐκκυμαίνει τι τῆς φάλλαγος** μέρος τι τῆς παρατάξεως ἐξέρχεται πρὸς τὰ ἐμπρὸς ὡς κῦμα. — **θέω** τρέχω· **δρόμῳ θέω** προχωρῶ μὲ ταχὺν βηματισμὸν ( τροχάδην ). — **φθέγγομαι** ἐκβάλλω κραυγήν. — **οἷον** ὅπως, καθώς. — **τῷ Ἐνυαλίῳ ἐλελίζουσι** ἀλαλάζουν ( φωνάζουν ἀλαλὰ ) ἐπικαλούμενοι τὸν Ἐνυάλιον· ὁ Ἐνυάλιος ἦτο θεὸς τοῦ πολέμου. — **τόξευμα ἐξικνεῖται** ριπτόμενον βέλος φθάνει εἰς τὸν σκοπόν του. — **ἐκκλίνω** στρέφω τὰ νῶτα. — **ἐνταῦθα δὴ** τότε πλέον. — **κατὰ κράτος** μὲ ὅλην των τὴν δύναμιν. — **προΐδοιεν**, ἀόρ. τοῦ **προορῶ** βλέπω ἐμπρός μου. — **διίσταμαι** διαχωρίζομαι, ἀφήνω διάστημα. — **ἔστιν ὅστις** τίς, κάποιος. — **κατελήφθη** ὑπὸ ἅρματος· ἀόρ. τοῦ **καταλαμβάνομαι** προφθάνομαι. — **ἱππόδρομος** ἱπποδρόμιον. — **ἐκπλαγείς**, ἀόρ. μτχ. τοῦ **ἐκπλήττομαι** τὰ χάνω.

Περίληψις τῶν κεφ. 6 καὶ 7 ( § 1 - 18 ) ........ 77
16. Ἄφιξις τῶν Ἑλλήνων εἰς τὸ ὄρος Θήχην καὶ ἡ ἐξ αὐτοῦ θέα τῆς θαλάσσης ( 7, 19 - 27 ) .............. 78

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Σελ.

Περίληψις τοῦ κεφ. 8 ( § 1 - 21 ) .............. 79
17. Ἄφιξις τῶν Ἑλλήνων εἰς Τραπεζοῦντα ( 8, 22 - 28 ) 80

**Βιβλίον πέμπτον**

Περίληψις τῶν κεφ. 1 καὶ 2 .................. 83
18. Ἄφιξις τῶν Ἑλλήνων εἰς Κερασοῦντα. Διανομὴ τῶν ἐκ τῶν λαφύρων χρημάτων καὶ χρησιμοποίησις ὑπὸ τοῦ Ξενοφῶντος τῶν διὰ τοὺς θεοὺς παραδοθέντων εἰς αὐτὸν χρημάτων ( 3, 1 - 13 ) .................... 84
Περίληψις τῶν κεφ. 4 καὶ 5 ( § 1 - 6 ) ......... 86
19. Αἱ ἐν Κοτυώροις διαπραγματεύσεις τῶν Σινωπέων πρέσβεων μετὰ τῶν Ἑλλήνων ( 5, 7 - 25 ) .......... 86
Περίληψις τῶν κεφ. 7 ( § 1 - 14 ) καὶ 8 ........ 89

**Βιβλίον ἕκτον**

20. Συνθῆκαι τῶν Ἑλλήνων μετὰ τῶν Παφλαγόνων. Ἄφιξις εἰς τὴν Σινώπην καὶ ἐκλογὴ ἑνὸς ἄρχοντος ( 1, 1 - 22, 24 - 33 ) ............................ 90
Περίληψις τῶν κεφ. 2, 3, 4, 5 καὶ 6 ........... 94

**Βιβλίον ἕβδομον**

21. Οἱ Ἕλληνες ἐν Βυζαντίῳ ( 1, 2 - 32 ) .......... 97
Περίληψις τῶν κεφ. 1 ( § 33 - 40 ) καὶ 2 ....... 101
22. Προσχώρησις τῶν Ἑλλήνων πρὸς τὸν Σεύθην καὶ τὸ παρ' αὐτῷ δεῖπνον ( 3, 1 - 33 ) ............... 103
Περίληψις τῶν κεφ. 3 ( § 34 - 48 ), 4, 5, 6 καὶ 7. 107
23. Ἐπιστροφὴ εἰς τὴν Ἀσίαν. Παράδοσις τοῦ στρατεύματος εἰς τὸν Θίβρωνα ( 8, 1 - 8, 24 ) .......... 109

Ἑρμηνευτικαὶ σημειώσεις ....................... 111
Πίνακες ....................................... 167
Περιεχόμενα ................................... 177

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ
## (ΕΚΛΟΓΑΙ)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΝΙΚΟΛΑΟΥ ΕΜΜ. ΦΡΑΓΚΙΣΚΟΥ

# ΞΕΝΟΦΩΝΤΟΣ ΕΛΛΗΝΙΚΑ

## (ΕΚΛΟΓΑΙ)

ΔΙΑ ΤΗΝ Β' ΤΑΞΙΝ ΤΩΝ ΓΥΜΝΑΣΙΩΝ



ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΔΙΔΑΚΤΙΚΩΝ ΒΙΒΛΙΩΝ
ΕΝ ΑΘΗΝΑΙΣ 1964

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΕΙΣΑΓΩΓΗ

Τὸ δεύτερον κατὰ τὴν σπουδαιότητα μετὰ τὴν **Κύρου Ἀνάβασιν** ἱστορικὸν ἔργον τοῦ Ξενοφῶντος εἶναι τὰ **Ἑλληνικὰ** ( ἑλληνικὰ πράγματα, ἱστορία ). Καὶ τὸ σύγγραμμα τοῦτο εἶναι διῃρημένον εἰς ἑπτὰ βιβλία. Ἐξ αὐτῶν τὰ δύο πρῶτα περιέχουν τὴν ἱστορίαν τῶν ἑπτὰ τελευταίων ἐτῶν τοῦ Πελοποννησιακοῦ πολέμου ( 411 - 404 π.Χ. ), τὴν ὁποίαν δὲν ἐπρόφθασε νὰ περιλάβῃ εἰς τὸ σύγγραμμά του ὁ Θουκυδίδης. Εἰς τὰ ὑπόλοιπα πέντε διηγεῖται ὁ Ξενοφῶν τὰ συμβάντα ἀπὸ τοῦ τέλους τοῦ Πελοποννησιακοῦ πολέμου μέχρι τῆς ἐν Μαντινείᾳ μάχης ( 404 - 362 π.Χ. ). Ἀναλυτικώτερον τὰ ἱστορούμενα εἰς τὸ σύγγραμμα τοῦτο γεγονότα ἔχουν ὡς ἀκολούθως :

Α΄ Ἀφοῦ οἱ Ἀθηναῖοι μετὰ τὴν ἐν Σικελίᾳ συμφορὰν κατώρθωσαν νὰ ἀνασυγκροτήσουν τὰς ναυτικὰς δυνάμεις των, ἤρχισαν νὰ διαμφισβητοῦν πρὸς τοὺς Λακεδαιμονίους τὴν κατὰ θάλασσαν ἡγεμονίαν. Ὀλίγον κατ' ὀλίγον ὁ στόλος των ἐξησφάλισε τὴν κυριαρχίαν τῶν θαλασσίων ὁδῶν εἰς τὸ βόρειον Αἰγαῖον, κατεναυμάχησεν ἰσχυρὰ τμήματα τοῦ στόλου τῶν ἀντιπάλων παρὰ τὴν Ἄβυδον καὶ Κύζικον καὶ ἔγινε κύριος τοῦ Ἑλλησπόντου καὶ τῆς Προποντίδος.

Εἰς τὰς ἐπιτυχίας αὐτὰς κατὰ θάλασσαν μεγάλως συνετέλεσεν ὁ Ἀλκιβιάδης, ὁ ὁποῖος εὑρίσκετο κατὰ τὴν ἐποχὴν ἐκείνην εἰς τὴν Μ. Ἀσίαν. Προπαρασκευάζων δηλαδὴ τὴν ἐπάνοδόν του εἰς τὰς Ἀθήνας ὁ ἐξόριστος πολιτικός, ἐνίσχυσε τὰς ναυτικὰς δυνάμεις τῶν Ἀθηναίων διὰ μοίρας πολεμικῶν σκαφῶν, τὴν ὁποίαν συνεκρότησε μὲ χρήματα τοῦ Πέρσου σατράπου Τισσαφέρνους. Ἐπὶ πλέον ἔλαβεν ἐνεργότατον μέρος εἰς τὰς νικηφόρους ναυμαχίας τῆς Ἀβύδου καὶ τῆς Κυζίκου καὶ κατέλαβε τὸ ὑπὸ τῶν Λακεδαιμονίων κατεχόμενον Βυζάντιον.

Παρ' ὅλα ὅμως τὰ κατὰ θάλασσαν κατορθώματα ἡ θέσις τῶν Ἀθηναίων ἀπὸ ξηρᾶς ἦτο δύσκολος. Ὁ βασιλεὺς τῶν Λακεδαιμονίων Ἆγις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶχε καταλάβει ἀπὸ τοῦ 413 τὴν Δεκέλειαν καὶ ἐξ αὐτῆς ἐνήργει κατὰ τῶν 'Αθηνῶν στενώτατον καὶ ἐξαντλητικὸν ἀποκλεισμόν.

'Εν τῷ μεταξὺ διὰ ψηφίσματος τῆς ἐκκλησίας ὁ 'Αλκιβιάδης ἀνεκλήθη ὑπὸ τοῦ δήμου καὶ ἐπανῆλθεν εἰς τὰς 'Αθήνας θριαμβευτικῶς. Εὐθὺς ἀμέσως ἀνετέθη εἰς αὐτὸν ἡ ἀρχηγία τῶν κατὰ ξηρὰν καὶ θάλασσαν δυνάμεων τῶν 'Αθηνῶν μὲ ἀπεριόριστον ἐξουσίαν. 'Αλλ' εἰς τὴν διαχείρισιν τῆς ἀρχῆς ὁ δραστήριος στρατηγὸς καὶ ναύαρχος ὑπῆρξεν ἀτυχής. 'Ο ὑπ' αὐτὸν ἀθηναϊκὸς στόλος, διοικούμενος ὑπὸ τοῦ κυβερνήτου τῆς ναυαρχίδος 'Αντιόχου, λόγῳ προσωρινῆς ἀπουσίας τοῦ ἀρχηγοῦ ἡττήθη πλησίον τῆς 'Εφέσου ὑπὸ τοῦ Λακεδαιμονίου ναυάρχου Λυσάνδρου ( 407 π.Χ. ). 'Ο 'Αλκιβιάδης κατόπιν τούτου περιῆλθεν εἰς νέαν δυσμένειαν, καίτοι ἦτο ἀνεύθυνος τοῦ ἀτυχήματος. Οἱ 'Αθηναῖοι ἐξέλεξαν 10 ἄλλους στρατηγούς, ὁ δὲ 'Αλκιβιάδης ἀπεσύρθη εἰς ἰδιόκτητον ὠχυρωμένην περιοχὴν τῆς χερσονήσου τῆς Καλλιπόλεως.

Τὸ θέρος τοῦ 406 οἱ 'Αθηναῖοι στρατηγοί, συναντήσαντες παρὰ τὰς 'Αργινούσας τὸν σπαρτιατικὸν στόλον ὑπὸ τὸν νέον ναύαρχον Καλλικρατίδαν, συνῆψαν πρὸς αὐτὸν ναυμαχίαν, κατὰ τὴν ὁποίαν κατήγαγον νίκην περιφανῆ. Μέγα μέρος τοῦ σπαρτιατικοῦ στόλου κατεστράφη, αὐτὸς δὲ ὁ ναύαρχος ἐπνίγη. 'Αλλὰ καὶ οἱ νικηταὶ 'Αθηναῖοι στρατηγοὶ δὲν ἀπέλαυσαν τῆς δόξης ἐκ τοῦ λαμπροῦ κατορθώματός των. Κατηγορηθέντες, ὅτι δὲν ἐφρόντισαν νὰ περισυλλέξουν τοὺς ναυαγούς, εἰσήχθησαν εἰς δίκην ἐνώπιον τῆς ἐκκλησίας τοῦ δήμου καὶ κατεδικάσθησαν εἰς θάνατον.

Β' 'Ολίγον μετὰ τὴν ναυμαχίαν τῶν 'Αργινουσῶν οἱ Σπαρτιᾶται, ἐπειδὴ ἠμποδίζοντο ὑπὸ τοῦ νόμου νὰ ἀναθέσουν τὴν ἀρχηγίαν τοῦ στόλου δὶς εἰς τὸ ἴδιον πρόσωπον, διώρισαν ναύαρχον κατὰ τύπους μὲν τὸν ῎Αρακον, πράγματι ὅμως τὸν ἐ π ι σ τ ο λ έ α, τουτέστι τὸν ὑποναύαρχον αὐτοῦ Λύσανδρον.

'Ο Λύσανδρος ἔπλευσεν εἰς τὰ μικρασιατικὰ παράλια, ἀλλ' ἀπέφευγε νὰ ἀντιμετωπίσῃ εἰς τὸ ἀνοικτὸν πέλαγος, τὸν ἀθηναϊκὸν στόλον, ὁ ὁποῖος ἦτο ἰσχυρότερος τοῦ σπαρτιατικοῦ. Δι' ἐπιδεξίων ἑλιγμῶν κατώρθωσεν ἐκ τῶν παραλίων τῆς 'Ιωνίας νὰ εἰσέλθῃ εἰς τὰ στενὰ τοῦ 'Ελλησπόντου καὶ νὰ προσορμισθῇ κατ' ἀρχὰς μὲν εἰς ῎Αβυδον, ἔπειτα εἰς Λάμψακον, πόλεις ἐπὶ τῆς μικρασιατικῆς παραλίας. Οἱ 'Αθηναῖοι, ἀκολουθοῦντες κατὰ πόδας, προσωρμίσθησαν μὲ 180 πολεμικὰ σκάφη εἰς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὴν ἐπὶ τῆς εὐρωπαϊκῆς ἀκτῆς τοῦ Ἑλλησπόντου περιοχήν, τὴν καλουμένην Αἰγὸς ποταμούς. Μετ' ὀλίγας ἡμέρας εἰς τὴν θέσιν ἐκείνην συνετελέσθη τὸ μεγαλύτερον δρᾶμα τοῦ ὅλου πολέμου. Ὁλόκληρος σχεδὸν ὁ ἀθηναϊκὸς στόλος μεθ' ὅλων τῶν πληρωμάτων του περιῆλθε δι' αἰφνιδιαστικῆς ἐπιθέσεως τοῦ Λυσάνδρου εἰς χεῖράς του. Ἡ συμφορὰ διὰ τοὺς Ἀθηναίους ὑπῆρξεν αὐτὴν τὴν φορὰν ἀνεπανόρθωτος. Ὁ μακροχρόνιος καὶ ἐξαντλητικὸς πόλεμος ἔληξεν οὕτω ὁριστικῶς. Ὑπὸ τὴν βίαν τῶν πραγμάτων ἠναγκάσθησαν οἱ Ἀθηναῖοι νὰ συνάψουν εἰρήνην σύμφωνον πρὸς τὴν ἐπιθυμίαν τοῦ νικητοῦ. Κατὰ τὰς διατάξεις τῆς συνθήκης ὑπεχρεώθησαν 1) νὰ κατεδαφίσουν τὰ μακρὰ τείχη καὶ τὰ ὀχυρώματα τοῦ Πειραιῶς, 2) νὰ παραδώσουν εἰς τοὺς νικητὰς ὁλόκληρον τὸν στόλον των ἐκτὸς 12 πλοίων, 3) νὰ δεχθοῦν τὴν ἐπάνοδον τῶν ἐξορίστων διὰ πολιτικὰ ἀδικήματα καὶ 4) νὰ συνδεθοῦν διὰ συμμαχίας πρὸς τοὺς Λακεδαιμονίους. Ἐπὶ πλέον κατ' ἀπαίτησιν τῶν νικητῶν ἀντικατέστησαν τὸ δημοκρατικὸν πολίτευμα διὰ τῆς ὀλιγαρχίας τῶν τριάκοντα. Ἀλλ' ἡ σκληρὰ καὶ αἱμοσταγὴς διοίκησις τῶν τυράννων δὲν διήρκεσεν ἐπὶ πολύ. Μετὰ βίον ὀκτὼ περίπου μηνῶν κατελύθη ὑπὸ τοῦ Θρασυβούλου καὶ τῶν ἄλλων ἐξορίστων Ἀθηναίων, οἱ ὁποῖοι εἶχον καταφύγει εἰς γειτονικὰς πόλεις τῆς Ἀττικῆς.

Γ' Οὕτω, μετὰ τὸν εὐτυχῆ διὰ τὰ σπαρτιατικὰ ὅπλα τερματισμὸν τοῦ Πελοποννησιακοῦ πολέμου, ἡ Σπάρτη ὡς πρωτεύουσα πόλις τῆς Ἑλλάδος κατέστη αὐτοδικαίως προστάτις τῶν ἑλληνικῶν πόλεων. Ἐπὶ τοῦ γεγονότος τούτου στηριχθεῖσαι αἱ ἰωνικαὶ πόλεις, αἱ ὁποῖαι εἶχον ὑπαχθῆ ἤδη εἰς τὴν σατραπείαν τοῦ Τισσαφέρνους καὶ κατεπιέζοντο ὑπ' αὐτοῦ, ἐζήτησαν τὴν ἐπέμβασιν τῶν Λακεδαιμονίων. Οἱ Σπαρτιᾶται ἐδέχθησαν εὐμενῶς τὴν πρόσκλησιν. Μὲ μικρὰν στρατιωτικὴν δύναμιν ἀπεβιβάσθησαν εἰς τὴν Ἰωνίαν, ἐνίκησαν ἐπανειλημμένως τὰς στρατιωτικὰς δυνάμεις τῆς κραταιᾶς μοναρχίας τῶν Περσῶν καὶ ἔφεραν εἰς δύσκολον θέσιν τοὺς σατράπας τοῦ Ἀρταξέρξου.

Δ' Κατὰ τοὺς ἰδίους χρόνους τὸ μῖσος καὶ ἡ ἀντιζηλία πρὸς τὴν Σπάρτην συνήνωσαν ἐναντίον της τὰς σημαντικωτέρας πόλεις τῆς κυρίως Ἑλλάδος, τὰς Ἀθήνας, τὰς Θήβας, τὴν Κόρινθον, τὸ Ἄργος. Οἱ Λακεδαιμόνιοι πρὸ τοῦ ἐπικρεμαμένου κινδύνου ἠναγκάσθησαν ν' ἀνακαλέσουν τὰς ἐν Ἰωνίᾳ δυνάμεις των.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐν τῷ μεταξὺ τὰ πεδία τῆς Κορίνθου καὶ τῆς Βοιωτίας γίνονται θέατρα αἱματηροτάτων συγκρούσεων μεταξὺ τῶν Ἑλλήνων. Ὁ ἀγὼν μὲ ἐναλλασσομένας φάσεις διεξάγεται σκληρὸς καὶ ἀμείλικτος. Οἱ συνησπισμένοι σύμμαχοι, μολονότι ἡττήθησαν εἰς τὴν Νεμέαν καὶ τὴν Κορώνειαν, κρατοῦν σταθερῶς τὰς θέσεις των περὶ τὸν Ἰσθμόν.

Μὲ τὰ κατὰ ξηρὰν ταῦτα γεγονότα συμπίπτουν ἄλλα κατὰ θάλασσαν. Ὁ Ἀθηναῖος ναύαρχος Κόνων, διοικῶν τὸν περσικὸν στόλον, καταναυμαχεῖ τὰς ναυτικὰς δυνάμεις τῶν Λακεδαιμονίων παρὰ τὴν Κνίδον τῆς Μ. Ἀσίας ( 394 π.Χ. ). Εὐθὺς κατόπιν μὲ ἰσχυρὸν στόλον πλέει κατὰ τῆς Πελοποννήσου καὶ ἐρημώνει τὰ παράλια. Ἀργότερον διὰ τῆς χρηματικῆς συνδρομῆς τοῦ Φαρναβάζου κατέρχεται εἰς τὰς Ἀθήνας καὶ ἀνοικοδομεῖ τὰ τείχη τῆς πόλεως.

Μετὰ τὰ γεγονότα ταῦτα οἱ Λακεδαιμόνιοι ἀποστέλλουν εἰς τὴν Μ. Ἀσίαν τὸν Ἀνταλκίδαν, διὰ νὰ διαπραγματευθῇ τὴν σύναψιν εἰρήνης μετὰ τοῦ βασιλέως τῶν Περσῶν. Αἱ διαπραγματεύσεις διήρκεσαν ἐπὶ μακρόν, διότι οἱ Ἀθηναῖοι ἠρνοῦντο νὰ μετάσχουν αὐτῶν καὶ ἐξηκολούθουν τὸν κατὰ θάλασσαν ἀγῶνα κατὰ τῶν Σπαρτιατῶν.

Ε′ Κατὰ τὸ διάστημα τοῦτο τὰ παράλια τῆς Ἀττικῆς ὑπέστησαν ἐπανειλημμένως ἐπιθέσεις καὶ καταστροφὰς ἐκ μέρους τοῦ σπαρτιατικοῦ στόλου καὶ ὁ ἐπισιτισμὸς τῶν Ἀθηνῶν διεκόπη ὁλοσχερῶς. Αἱ Ἀθῆναι ἐκινδύνευσαν οὕτω δι' ἄλλην μίαν φοράν. Ὑπὸ τὰς περιστάσεις αὐτὰς οἱ Ἀθηναῖοι καὶ οἱ σύμμαχοι ἐδέχθησαν νὰ ὑπογράψουν τὴν διαβόητον **ἀνταλκίδειον εἰρήνην** ( 387 π.Χ. ), τὴν ὁποίαν κατήρτισεν ὁ μέγας βασιλεύς. Κατὰ τοὺς ὅρους τῆς εἰρήνης ὅλαι αἱ ἑλληνικαὶ πόλεις τῆς Μικρᾶς Ἀσίας καὶ ἐκ τῶν νήσων αἱ Κλαζομεναὶ καὶ ἡ Κύπρος περιήρχοντο εἰς τὴν κυριαρχίαν τοῦ βασιλέως τῶν Περσῶν. Αἱ ἄλλαι ἑλληνίδες πόλεις ἐκτὸς τῶν νήσων Λήμνου, Ἴμβρου καὶ Σκύρου, παλαιῶν ἀθηναϊκῶν κτήσεων, ἀφήνοντο αὐτόνομοι. Ἡ ἐποπτεία διὰ τὴν ἐκτέλεσιν τῆς εἰρήνης ἀνετίθετο εἰς τὸν μέγαν βασιλέα καὶ τοὺς Λακεδαιμονίους.

Ἀλλ' ἡ ἡσυχία, ἡ ὁποία ἐπεκράτησε εἰς τὴν Ἑλλάδα μετὰ τὴν ἀνταλκίδειον εἰρήνην, δὲν διετηρήθη ἐπὶ μακρόν. Τὸ 383 οἱ Λακεδαιμόνιοι κατέλαβον αἰφνιδιαστικῶς τὰς Θήβας, ἐγκατέστησαν εἰς τὴν Καδμείαν σπαρτιατικὴν φρουράν, κατέλυσαν τὸ ὑφιστάμενον πολίτευμα καὶ ἐγκαθίδρυσαν ὀλιγαρχίαν. Οἱ ἀφωσιωμένοι εἰς τὸ πρώην καθεστὼς Θηβαῖοι καταφεύγουν τότε εἰς τὰς Ἀθήνας. Ἐδῶ ὠργάνωσαν συνωμο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σίαν κατὰ τοῦ νέου πολιτεύματος τῆς πατρίδος των, εἰσῆλθον κρυφίως εἰς τὰς Θήβας, ἐφόνευσαν τοὺς ἀρχηγοὺς τῶν ὀλιγαρχικῶν καὶ ἠνάγκασαν τὴν σπαρτιατικὴν φρουρὰν νὰ ἐγκαταλείψῃ τὴν Καδμείαν.

Μετὰ τὰ γεγονότα ταῦτα οἱ Λακεδαιμόνιοι ἐξεστράτευσαν ἐπανειλημμένως κατὰ τῶν Θηβῶν, ἀλλ' αἱ ἐπιτυχίαι των ὑπῆρξαν ἀσήμαντοι. Οἱ Θηβαῖοι κατώρθωσαν νὰ παρασύρουν εἰς τὸν πόλεμον καὶ τοὺς Ἀθηναίους, οἱ ὁποῖοι διὰ τοῦ στόλου των κατέστρεφον τὰ παράλια τῆς Πελοποννήσου.

ΣΤ' Τὸ 374 ὁ θηβαϊκὸς στρατὸς εἰσήλασεν εἰς τὴν Φωκίδα. Οἱ Λακεδαιμόνιοι ἀπέστειλαν τότε κατ' αὐτῶν τὸν βασιλέα Κλεόμβροτον. Τοῦτο ἠνάγκασε τοὺς Θηβαίους νὰ ἐπιστρέψουν εἰς τὴν πόλιν των πρὸς ἄμυναν αὐτῆς. Συγχρόνως οἱ Ἀθηναῖοι καὶ διότι ἔβλεπον μετὰ δυσφορίας τὴν αὐξανομένην δύναμιν τῶν Θηβῶν καὶ διότι δὲν ἠδύναντο νὰ κρατοῦν ἐν κινήσει τὸν στόλον των, συνῆψαν εἰρήνην πρὸς τοὺς Λακεδαιμονίους. Ἀργότερον συνέστησαν καὶ εἰς τοὺς Θηβαίους νὰ στείλουν ἀντιπροσώπους των μαζὶ μὲ Ἀθηναίους πρέσβεις εἰς τὴν Σπάρτην, διὰ νὰ θέσουν τέρμα εἰς τὸν συνεχιζόμενον πόλεμον. Ἡ πρότασις ἔγινε δεκτὴ καὶ οὕτω συνήφθη εἰρήνη, τῆς ὁποίας οὐσιωδεστέρα διάταξις ἦτο νὰ ἀποστρατευθοῦν αἱ ἑκατέρωθεν δυνάμεις καὶ νὰ ἀφεθοῦν αἱ πόλεις αὐτόνομοι. Ἀλλ' οἱ Θηβαῖοι μεταμεληθέντες ἐζήτησαν εὐθὺς ἀμέσως νὰ λυθοῦν τῶν ὑποχρεώσεων τῆς συνθήκης. Τότε ὁ Κλεόμβροτος διετάχθη νὰ παραμείνῃ εἰς Βοιωτίαν καὶ νὰ ἐπιβληθῇ εἰς τοὺς Θηβαίους διὰ τῶν ὅπλων.

Ἡ σύγκρουσις μεταξὺ τῶν ἀντιπάλων ἔγινεν εἰς τὰ Λεῦκτρα τῆς Βοιωτίας ( 371 π.Χ. ). Ἡ ἀνωτέρα τακτικὴ τοῦ Ἐπαμεινώνδου ἐπεκράτησεν ὁλοσχερῶς. Οἱ Λακεδαιμόνιοι ὑπέστησαν ὀδυνηρὰν ἧτταν. Αὐτὸς ὁ βασιλεὺς Κλεόμβροτος ἐφονεύθη.

Τὸ ἀποτέλεσμα τῆς μάχης εἶχε βαρὺν ἀντίκτυπον εἰς τὴν σπαρτιατικὴν ἀρχήν. Ἡ μία μετὰ τὴν ἄλλην αἱ σύμμαχοι πόλεις τῆς Πελοποννήσου ἀπεχώρησαν τῆς συμμαχίας, πλὴν τοῦ Φλειοῦντος, ἐνῷ οἱ εἵλωτες καὶ οἱ περίοικοι ἐκινήθησαν εἰς ἐπανάστασιν. Εἰς ἐπίμετρον οἱ Μαντινεῖς, οἱ Ἀργεῖοι καὶ οἱ Ἠλεῖοι συνησπίσθησαν κατὰ τῆς Σπάρτης, ἐκάλεσαν εἰς ἐνίσχυσιν τοὺς Θηβαίους καὶ ἐβάδισαν κατὰ τῆς Λακωνικῆς. Οἱ Σπαρτιᾶται μετὰ δυσκολίας κατώρθωσαν νὰ ἀποκρούσουν τοὺς ἐπιδρομεῖς. Εἰς τοῦτο τοὺς ἐβοήθησαν οἱ Ἀθηναῖοι, τῶν ὁποίων εἶχον ζητήσει τὴν συνδρομήν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ζ′ Τὸ ἑπόμενον ἔτος ( 370 π. Χ. ) οἱ Θηβαῖοι, ὀνειρευόμενοι τὴν ἡγεμονίαν τῆς Ἑλλάδος, πρῶτον μὲν ἐπεδίωξαν διὰ πρεσβείας ὑπὸ τὸν Πελοπίδαν νὰ ἀποκτήσουν τὴν εὔνοιαν καὶ ὑποστήριξιν τοῦ βασιλέως τῶν Περσῶν, ἔπειτα δὲ διὰ τοῦ Ἐπαμεινώνδου ἐπεχείρησαν νέαν ἐκστρατείαν κατὰ τῆς Πελοποννήσου. Καὶ ἡ μὲν πρώτη ἀπόπειρα ἀπέτυχε τοῦ σκοποῦ της· ἡ κατὰ τῆς Πελοποννήσου ὅμως ἐπιδρομὴ συνετέλεσεν εἰς τὴν ἐνίσχυσιν τῆς συμμαχίας τῶν Θηβῶν μετά τινων πελοποννησιακῶν πόλεων διὰ τῆς προσθήκης εἰς αὐτὴν τῆς Ἀχαΐας. Φρουραὶ ἐπίσης θηβαϊκαὶ ἐγκατεστάθησαν εἰς τὰς συμμαχίδας πόλεις.

Ἐπὶ μακρὸν χρόνον μετὰ ταῦτα σταματοῦν αἱ ἐκστρατεῖαι τῶν Θηβαίων ἐναντίον τῆς Πελοποννήσου. Τὸ 362 ὅμως ὁ Ἐπαμεινώνδας εὗρε νέαν ἀφορμὴν ἐπεμβάσεως εἰς τὰ ἐκεῖ πράγματα. Οἱ ταμίαι δηλαδὴ τῶν χρημάτων τοῦ **« κοινοῦ »** τῶν Ἀρκάδων, διὰ νὰ συγκαλύψουν τὴν ὕποπτον διαχείρισίν των, ἐζήτησαν τὴν συνδρομὴν τῶν Θηβῶν πρὸς προστασίαν δῆθεν τῆς ὑφισταμένης μετά τινων ἀρκαδικῶν πόλεων συμμαχίας. Οἱ Μαντινεῖς ἐξ ἄλλου συνεβούλευσαν τοὺς Θηβαίους νὰ ἀφήσουν τοὺς Ἀρκάδας νὰ ἐπιλύσουν μόνοι τὰς ἐσωτερικὰς διαφοράς των, ἀλλ' ἡ σύστασίς των δὲν εἰσηκούσθη. Ὁ Ἐπαμεινώνδας μὲ ἀρκετὴν δύναμιν εἰσέβαλεν εἰς τὴν Πελοπόννησον, προήλασεν εἰς τὴν Ἀρκαδίαν καὶ διὰ καταπληκτικῆς αἰφνιδιαστικῆς ἐνεργείας εὑρέθη πρὸ τῆς Σπάρτης καθ' ἣν στιγμὴν αὕτη ἦτο ἔρημος ὑπερασπιστῶν. Ἔγκαιρος ἐν τούτοις ἑλιγμὸς τῶν σπαρτιατικῶν δυνάμεων ὑπὸ τὸν βασιλέα Ἀγησίλαον καὶ τὸν νεαρὸν υἱόν του Ἀρχίδαμον ἔσωσε τὴν ἀτείχιστον πόλιν.

Μετὰ τὴν ἀποτυχίαν ταύτην ὁ Ἐπαμεινώνδας ἠναγκάσθη νὰ ὑποχωρήσῃ εἰς τὴν Ἀρκαδίαν καὶ νὰ συνάψῃ τὴν μάχην τῆς Μαντινείας.

Ὁ ἀγὼν ὑπῆρξε τραχύς, ἀλλ' ἔμεινεν ἄκριτος. Κατὰ τὴν κρίσιμον φάσιν τῆς πάλης, ἐνῷ ἡ νίκη ἔκλινεν ὑπὲρ τῶν Θηβαίων, ὁ Ἐπαμεινώνδας ἐφονεύθη. Οὕτω καὶ οἱ δύο ἀντίπαλοι ἐθεώρουν τοὺς ἑαυτούς των νικητάς, **« ἀκρισία δὲ καὶ ταραχὴ ἔτι πλείων μετὰ τὴν μάχην ἐγένετο ἢ πρόσθεν ἐν τῇ Ἑλλάδι »**.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΜΕΡΟΣ Α'

# ΚΕΙΜΕΝΟΝ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

## ΤΑ ΤΕΛΕΥΤΑΙΑ ΕΤΗ ΤΟΥ ΠΕΛΟΠΟΝΝΗΣΙΑΚΟΥ ΠΟΛΕΜΟΥ

### 1. Αἱ περὶ τὴν Λέσβον συγκρούσεις τοῦ σπαρτιατικοῦ πρὸς τὸν ἀθηναϊκὸν στόλον. Ἡ ἐν Ἀργινούσαις ναυμαχία ( 406 π.Χ. ).

( **6**, 1 - 28, 32 - 38 )

Τῷ δ' ἐπιόντι ἔτει οἱ Λακεδαιμόνιοι τῷ Λυσάνδρῳ παρε- § 1 - 3
ληλυθότος ἤδη τοῦ χρόνου ἔπεμψαν ἐπὶ τὰς ναῦς Καλλικρατίδαν. Ὅτε δὲ παρεδίδου ὁ Λύσανδρος τὰς ναῦς, ἔλεγε τῷ Καλλικρατίδᾳ, ὅτι θαλαττοκράτωρ τε παραδιδοίη καὶ ναυμαχίᾳ νενικηκώς. Ὁ δὲ αὐτὸν ἐκέλευσεν ἐξ Ἐφέσου ἐν ἀριστερᾷ Σάμου παραπλεύσαντα, οὗ ἦσαν αἱ τῶν Ἀθηναίων νῆες, ἐν Μιλήτῳ παραδοῦναι τὰς ναῦς, καὶ ὁμολογήσειν θαλαττοκρατεῖν. Οὐ φάσκοντος δὲ τοῦ Λυσάνδρου πολυπραγμονεῖν ἄλλου ἄρχοντος, αὐτὸς ὁ Καλλικρατίδας, πρὸς αἷς παρὰ Λυσάνδρου ἔλαβε ναυσί, προσεπλήρωσεν ἐκ Χίου καὶ Ῥόδου καὶ ἄλλοθεν ἀπὸ τῶν συμμάχων πεντήκοντα ναῦς. Ταύτας δὲ πάσας ἀθροίσας, οὔσας τετταράκοντα καὶ ἑκατόν, παρεσκευάζετο ὡς ἀπαντησόμενος τοῖς πολεμίοις.

Καταμαθὼν δ' ὑπὸ τῶν Λυσάνδρου φίλων καταστασια- § 4
ζόμενος, οὐ μόνον ἀπροθύμως ὑπηρετούντων, ἀλλὰ καὶ διαθροούντων ἐν ταῖς πόλεσιν, ὅτι Λακεδαιμόνιοι μέγιστα παραπίπτοιεν ἐν τῷ διαλλάττειν τοὺς ναυάρχους, πολλάκις ἀνεπιτηδείων γιγνομένων καὶ ἄρτι συνιέντων τὰ ναυτικὰ καὶ ἀνθρώποις ὡς χρηστέον οὐ γιγνωσκόντων, ἀπείρους θαλάτ-



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

της πέμποντες καὶ ἀγνῶτας τοῖς ἐκεῖ, κινδυνεύοιέν τέ τι παθεῖν διὰ τοῦτο· ἐκ τούτου δὴ ὁ Καλλικρατίδας συγκαλέσας τοὺς Λακεδαιμονίων ἐκεῖ παρόντας ἔλεγεν αὐτοῖς τοιάδε.

§ 5 « Ἐμοὶ μὲν ἀρκεῖ οἴκοι μένειν καὶ εἴτε Λύσανδρος εἴτε ἄλλος τις ἐμπειρότερος περὶ τὰ ναυτικὰ βούλεται εἶναι, οὐ κωλύω τὸ κατ' ἐμέ· ἐγὼ δ' ὑπὸ τῆς πόλεως ἐπὶ τὰς ναῦς πεμφθεὶς οὐκ ἔχω, τί ἄλλο ποιῶ ἢ τὰ κελευόμενα, ὡς ἂν δύνωμαι κράτιστα. Ὑμεῖς δὲ πρὸς ἃ ἐγώ τε φιλοτιμοῦμαι καὶ ἡ πόλις ἡμῶν αἰτιάζεται, ( ἴστε γὰρ αὐτὰ ὥσπερ καὶ ἐγώ ), συμβουλεύετε τὰ ἄριστα ὑμῖν δοκοῦντα εἶναι περὶ τοῦ ἐμὲ ἐνθάδε μένειν ἢ οἴκαδε ἀποπλεῖν ἐροῦντα τὰ καθεστῶτα ἐνθάδε ».

§ 6 - 7 Οὐδενὸς δὲ τολμήσαντος ἄλλο τι εἰπεῖν ἢ τοῖς οἴκοι πείθεσθαι ποιεῖν τε ἐφ' ἃ ἥκοι, ἐλθὼν παρὰ Κῦρον ᾔτει μισθὸν τοῖς ναύταις· ὁ δὲ αὐτῷ εἶπε δύο ἡμέρας ἐπισχεῖν. Καλλικρατίδας δὲ ἀχθεσθεὶς τῇ ἀναβολῇ καὶ ταῖς ἐπὶ τὰς θύρας φοιτήσεσιν, ὀργισθεὶς καὶ εἰπὼν ἀθλιωτάτους εἶναι τοὺς Ἕλληνας, ὅτι βαρβάρους κολακεύουσιν ἕνεκα ἀργυρίου, φάσκων τε, ἂν σωθῇ οἴκαδε, κατά γε τὸ αὐτοῦ δυνατὸν διαλλάξειν Ἀθηναίους καὶ Λακεδαιμονίους, ἀπέπλευσεν εἰς Μίλητον· κἀκεῖθεν πέμψας τριήρεις εἰς Λακεδαίμονα ἐπὶ χρήματα, ἐκκλησίαν ἀθροίσας τῶν Μιλησίων τάδε εἶπεν.

8 - 11 « Ἐμοὶ μέν, ὦ Μιλήσιοι, ἀνάγκη τοῖς οἴκοι ἄρχουσι πείθεσθαι· ὑμᾶς δὲ ἐγὼ ἀξιῶ προθυμοτάτους εἶναι εἰς τὸν πόλεμον διὰ τὸ οἰκοῦντας ἐν βαρβάροις πλεῖστα κακὰ ἤδη ὑπ' αὐτῶν πεπονθέναι· δεῖ δ' ὑμᾶς ἐξηγεῖσθαι τοῖς ἄλλοις συμμάχοις, ὅπως ἂν τάχιστά τε καὶ μάλιστα βλάπτωμεν τοὺς πολεμίους, ἕως ἂν οἱ ἐκ Λακεδαίμονος ἥκωσιν, οὓς ἐγὼ ἔπεμψα χρήματα ἄξοντας, ἐπεὶ τὰ ἐνθάδε ὑπάρχοντα Λύσανδρος Κύρῳ ἀποδοὺς ὡς περιττὰ ὄντα οἴχεται· Κῦρος δὲ ἐλθόντος ἐμοῦ ἐπ' αὐτὸν ἀεὶ ἀνεβάλλετό μοι διαλεχθῆναι,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐγὼ δ' ἐπὶ τὰς ἐκείνου θύρας φοιτᾶν οὐκ ἐδυνάμην ἐμαυτὸν πεῖσαι. Ὑπισχνοῦμαι δ' ὑμῖν ἀντὶ τῶν συμβάντων ἡμῖν ἀγαθῶν ἐν τῷ χρόνῳ, ᾧ ἂν ἐκεῖνα προσδεχώμεθα, χάριν ἀξίαν ἀποδώσειν. Ἀλλὰ σὺν τοῖς θεοῖς δείξωμεν τοῖς βαρβάροις, ὅτι καὶ ἄνευ τοῦ ἐκείνους θαυμάζειν δυνάμεθα τοὺς ἐχθροὺς τιμωρεῖσθαι ».

Ἐπεὶ δὲ ταῦτ' εἶπεν, ἀνιστάμενοι πολλοὶ καὶ μάλιστα § 12 - 15
αἰτιαζόμενοι ἐναντιοῦσθαι δεδιότες εἰσηγοῦντο πόρον χρημάτων καὶ αὐτοὶ ἐπαγγελλόμενοι ἰδίᾳ. Λαβὼν δὲ ταῦτα ἐκεῖνος καὶ ἐκ Χίου πεντεδραχμίαν ἑκάστῳ τῶν ναυτῶν ἐφοδιασάμενος ἔπλευσε τῆς Λέσβου ἐπὶ Μήθυμναν πολεμίαν οὖσαν. Οὐ βουλομένων δὲ τῶν Μηθυμναίων προσχωρεῖν, ἀλλ' ἐμφρούρων ὄντων Ἀθηναίων καὶ τῶν τὰ πράγματα ἐχόντων ἀττικιζόντων, προσβαλὼν αἱρεῖ τὴν πόλιν κατὰ κράτος. Τὰ μὲν οὖν χρήματα πάντα διήρπασαν οἱ στρατιῶται, τὰ δὲ ἀνδράποδα πάντα συνήθροισεν ὁ Καλλικρατίδας εἰς τὴν ἀγοράν· καὶ κελευόντων τῶν συμμάχων ἀποδόσθαι καὶ τοὺς Μηθυμναίους οὐκ ἔφη ἑαυτοῦ γε ἄρχοντος οὐδένα Ἑλλήνων εἰς τὸ ἐκείνου δυνατὸν ἀνδραποδισθῆναι. Τῇ δ' ὑστεραίᾳ τοὺς μὲν ἐλευθέρους ἀφῆκε, τοὺς δὲ τῶν Ἀθηναίων φρουροὺς καὶ τὰ ἀνδράποδα τὰ δοῦλα πάντα ἀπέδοτο. Κόνωνι δὲ εἶπεν, ὅτι παύσει αὐτὸν θαλαττοκρατοῦντα· κατιδὼν δὲ αὐτὸν ἀναγόμενον ἅμα τῇ ἡμέρᾳ, ἐδίωκεν ὑποτεμνόμενος τὸν εἰς Σάμον πλοῦν, ὅπως μὴ ἐκεῖσε φύγοι.

Κόνων δ' ἔφευγε ταῖς ναυσὶν εὖ πλεούσαις διὰ τὸ ἐκ § 16 - 18
πολλῶν πληρωμάτων εἰς ὀλίγας ἐκλελέχθαι τοὺς ἀρίστους ἐρέτας, καὶ καταφεύγει εἰς Μυτιλήνην τῆς Λέσβου καὶ σὺν αὐτῷ τῶν δέκα στρατηγῶν Λέων καὶ Ἐρασινίδης. Καλλικρατίδας δὲ συνεισέπλευσεν εἰς τὸν λιμένα, διώκων ναυσὶν ἑκατὸν καὶ ἑβδομήκοντα. Κόνων δὲ ὡς ἔφθη ὑπὸ τῶν πολεμίων κατακωλυθείς, ἠναγκάσθη ναυμαχῆσαι πρὸς τῷ λιμένι καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀπώλεσε ναῦς τριάκοντα· οἱ δὲ ἄνδρες εἰς τὴν γῆν ἀπέφυγον· τὰς δὲ λοιπὰς τῶν νεῶν, τετταράκοντα οὔσας, ὑπὸ τῷ τείχει ἀνείλκυσε. Καλλικρατίδας δὲ ἐν τῷ λιμένι ὁρμισάμενος ἐπολιόρκει ἐνταῦθα τὸν ἔκπλουν ἔχων καὶ κατὰ γῆν μεταπεμψάμενος τοὺς Μυθημναίους πανδημεὶ καὶ ἐκ τῆς Χίου τὸ στράτευμα διαβιβάσας· χρήματά τε παρὰ Κύρου αὐτῷ ἦλθεν.

§ 19 - 20 Ὁ δὲ Κόνων ἐπεὶ ἐπολιορκεῖτο καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν καὶ σίτου οὐδαμόθεν ἦν εὐπορῆσαι, οἱ δὲ ἄνθρωποι πολλοὶ ἐν τῇ πόλει ἦσαν καὶ οἱ Ἀθηναῖοι οὐκ ἐβοήθουν διὰ τὸ μὴ πυνθάνεσθαι ταῦτα, καθελκύσας τῶν νεῶν τὰς ἄριστα πλεούσας δύο ἐπλήρωσε πρὸ ἡμέρας, ἐξ ἁπασῶν τῶν νεῶν τοὺς ἀρίστους ἐρέτας ἐκλέξας καὶ τοὺς ἐπιβάτας εἰς κοίλην ναῦν μεταβιβάσας καὶ τὰ παραρρύματα παραβαλών. Τὴν μὲν οὖν ἡμέραν οὕτως ἀνεῖχον, εἰς δὲ τὴν ἑσπέραν, ἐπεὶ σκότος εἴη, ἐξεβίβαζεν, ὡς μὴ καταδήλους εἶναι τοῖς πολεμίοις ταῦτα ποιοῦντας. Πέμπτῃ δὲ ἡμέρᾳ εἰσθέμενοι σῖτα μέτρια, ἐπειδὴ ἤδη μέσον ἡμέρας ἦν καὶ οἱ ἐφορμοῦντες ὀλιγώρως εἶχον καὶ ἔνιοι ἀνεπαύοντο, ἐξέπλευσαν ἔξω τοῦ λιμένος καὶ ἡ μὲν ἐπὶ Ἑλλησπόντου ὥρμησεν, ἡ δὲ εἰς τὸ πέλαγος.

§ 21 - 23 Τῶν δ' ἐφορμούντων, ὡς ἕκαστοι ἤνυτον, τάς τε ἀγκύρας ἀποκόπτοντες καὶ ἐγειρόμενοι ἐβοήθουν τεταραγμένοι, τυχόντες ἐν τῇ γῇ ἀριστοποιούμενοι· εἰσβάντες δὲ ἐδίωκον τὴν εἰς τὸ πέλαγος ἀφορμήσασαν, καὶ ἅμα τῷ ἡλίῳ δύνοντι κατέλαβον, καὶ κρατήσαντες μάχῃ, ἀναδησάμενοι ἀπῆγον εἰς τὸ στρατόπεδον αὐτοῖς ἀνδράσιν· ἡ δ' ἐπὶ τοῦ Ἑλλησπόντου φυγοῦσα ναῦς διέφυγε καὶ ἀφικομένη εἰς τὰς Ἀθήνας ἐξαγγέλλει τὴν πολιορκίαν. Διομέδων δὲ βοηθῶν Κόνωνι πολιορκουμένῳ δώδεκα ναυσὶν ὡρμίσατο εἰς τὸν εὔριπον τὸν τῶν Μυτιληναίων. Ὁ δὲ Καλλικρατίδας ἐπιπλεύσας αὐτῷ ἐξαίφνης δέκα μὲν τῶν νεῶν ἔλαβε, Διομέδων δ' ἔφυγε τῇ τε αὐτοῦ καὶ ἄλλῃ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ δὲ Ἀθηναῖοι τὰ γεγενημένα καὶ τὴν πολιορκίαν ἐπεὶ ἤκουσαν, ἐψηφίσαντο βοηθεῖν ναυσὶν ἑκατὸν καὶ δέκα εἰσβιβάζοντες τοὺς ἐν τῇ ἡλικίᾳ ὄντας ἅπαντας καὶ δούλους καὶ ἐλευθέρους· καὶ πληρώσαντες τὰς δέκα καὶ ἑκατὸν ἐν τριάκοντα ἡμέραις ἀπῆραν· εἰσέβησαν δὲ καὶ τῶν ἱππέων πολλοί. Μετὰ ταῦτα ἀνήχθησαν εἰς Σάμον, κἀκεῖθεν Σαμίας ναῦς ἔλαβον δέκα· ἤθροισαν δὲ καὶ ἄλλας πλείους ἢ τριάκοντα παρὰ τῶν ἄλλων συμμάχων εἰσβαίνειν ἀναγκάσαντες ἅπαντας, ὁμοίως δὲ καὶ εἴ τινες αὐτοῖς ἔτυχον ἔξω οὖσαι· ἐγένοντο δὲ αἱ πᾶσαι πλείους ἢ πεντήκοντα καὶ ἑκατόν. § 24 - 25

Ὁ δὲ Καλλικρατίδας ἀκούων τὴν βοήθειαν ἤδη ἐν Σάμῳ οὖσαν, αὐτοῦ μὲν κατέλιπε πεντήκοντα ναῦς καὶ ἄρχοντα Ἐτεόνικον, ταῖς δὲ εἴκοσι καὶ ἑκατὸν ἀναχθεὶς ἐδειπνοποιεῖτο τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ ἀντίον τῆς Μυτιλήνης. Τῇ δ' αὐτῇ ἡμέρᾳ ἔτυχον καὶ οἱ Ἀθηναῖοι δειπνοποιούμενοι ἐν ταῖς Ἀργινούσαις· αὗται δὲ εἰσὶν ἀντίον τῆς Λέσβου. Τῆς δὲ νυκτὸς ἰδὼν τὰ πυρά, καί τινων αὐτῷ ἐξαγγειλάντων, ὅτι οἱ Ἀθηναῖοι εἶεν, ἀνήγετο περὶ μέσας νύκτας, ὡς ἐξαπιναίως προσπέσοι· ὕδωρ δ' ἐπιγενόμενον πολὺ καὶ βρονταὶ διεκώλυσαν τὴν ἀναγωγήν. Ἐπεὶ δὲ ἀνέσχεν, ἅμα τῇ ἡμέρᾳ ἔπλει ἐπὶ τὰς Ἀργινούσας. Εἶχε δὲ τὸ δεξιὸν κέρας Καλλικρατίδας. Οἱ δ' Ἀθηναῖοι ἀντανήγοντο εἰς τὸ πέλαγος. § 26 - 28

Ἕρμων δὲ Μεγαρεὺς ὁ τῷ Καλλικρατίδᾳ κυβερνῶν εἶπε πρὸς αὐτόν, ὅτι εἴη καλῶς ἔχον ἀποπλεῦσαι. Αἱ γὰρ τριήρεις τῶν Ἀθηναίων πολλῷ πλείονες ἦσαν. Καλλικρατίδας δὲ εἶπεν, ὅτι ἡ Σπάρτη οὐ δέος, μὴ κάκιον οἰκεῖται αὐτοῦ ἀποθανόντος, φεύγειν δὲ αἰσχρὸν ἔφη εἶναι. § 32

Μετὰ ταῦτα ἐναυμάχησαν χρόνον πολύν, πρῶτον μὲν ἀθρόαι, ἔπειτα δὲ διεσκεδασμέναι. Ἐπεὶ δὲ Καλλικρατίδας τε ἐμβαλούσης τῆς νεὼς ἀποπεσὼν εἰς τὴν θάλατταν ἠφανίσθη, Πρωτόμαχός τε καὶ οἱ μετ' αὐτοῦ τῷ δεξιῷ τὸ εὐώνυμον ἐνί- § 33 - 34

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κησαν, ἐντεῦθεν φυγὴ τῶν Πελοποννησίων ἐγένετο εἰς Χίον, πλείστων δὲ καὶ εἰς Φώκαιαν· οἱ δὲ 'Αθηναῖοι πάλιν εἰς τὰς 'Αργινούσας κατέπλευσαν. 'Απώλοντο δὲ τῶν μὲν 'Αθηναίων νῆες πέντε καὶ εἴκοσιν αὐτοῖς ἀνδράσιν ἐκτὸς ὀλίγων τῶν πρὸς τὴν γῆν προσενεχθέντων, τῶν δὲ Πελοποννησίων Λακωνικαὶ μὲν ἐννέα, τῶν πασῶν οὐσῶν δέκα, τῶν δ' ἄλλων συμμάχων πλείους ἢ ἑξήκοντα.

§ 35 Ἔδοξε δὲ τοῖς τῶν 'Αθηναίων στρατηγοῖς ἑπτὰ μὲν καὶ τετταράκοντα ναυσὶ Θηραμένη τε καὶ Θρασύβουλον τριηράρχους ὄντας καὶ τῶν ταξιάρχων τινὰς πλεῖν ἐπὶ τὰς καταδεδυκυίας ναῦς καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους, ταῖς δὲ ἄλλαις ἐπὶ τὰς μετ' 'Ετεονίκου τῇ Μυτιλήνῃ ἐφορμούσας. Ταῦτα δὲ βουλομένους ποιεῖν ἄνεμος καὶ χειμὼν διεκώλυσεν αὐτοὺς μέγας γενόμενος· τρόπαιον δὲ στήσαντες αὐτοῦ ηὐλίζοντο, τῷ δ' 'Ετεονίκῳ ὁ ὑπηρετικὸς κέλης πάντα ἐξήγγειλε τὰ περὶ τὴν ναυμαχίαν.

§ 36 - 37 Ὁ δὲ αὐτὸν πάλιν ἐξέπεμψεν εἰπὼν τοῖς ἐνοῦσι σιωπῇ ἐκπλεῖν καὶ μηδενὶ διαλέγεσθαι, παραχρῆμα δὲ αὖθις πλεῖν εἰς τὸ ἑαυτῶν στρατόπεδον ἐστεφανωμένους καὶ βοῶντας, ὅτι Καλλικρατίδας νενίκηκε ναυμαχῶν καὶ ὅτι αἱ τῶν 'Αθηναίων νῆες ἀπολώλασιν ἅπασαι· καὶ οἱ μὲν ταῦτ' ἐποίουν· αὐτὸς δέ, ἐπειδὴ ἐκεῖνοι κατέπλεον, ἔθυε τὰ εὐαγγέλια, καὶ τοῖς στρατιώταις παρήγγειλε δειπνοποιεῖσθαι, καὶ τοῖς ἐμπόροις τὰ χρήματα σιωπῇ ἐνθεμένους εἰς τὰ πλοῖα ἀποπλεῖν εἰς Χίον, ( ἦν δὲ τὸ πνεῦμα οὔριον ), καὶ τὰς τριήρεις τὴν ταχίστην. Αὐτὸς δὲ τὸ πεζὸν ἀπῆγεν εἰς τὴν Μήθυμναν, τὸ στρατόπεδον ἐμπρήσας.

§ 38 Κόνων δὲ καθελκύσας τὰς ναῦς, ἐπεὶ οἵ τε πολέμιοι ἀπεδεδράκεσαν καὶ ὁ ἄνεμος εὐδιαίτερος ἦν, ἀπαντήσας τοῖς 'Αθηναίοις ἤδη ἀνηγμένοις ἐκ τῶν 'Αργινουσῶν ἔφρασε τὰ περὶ τοῦ 'Ετεονίκου. Οἱ δὲ 'Αθηναῖοι κατέπλευσαν εἰς τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μυτιλήνην, ἐκεῖθεν δ' ἐπανήχθησαν εἰς τὴν Χίον καὶ οὐδὲν διαπραξάμενοι ἀπέπλευσαν ἐπὶ Σάμου.

## 2.- Ἀνάκλησις τῶν νικητῶν στρατηγῶν ὑπὸ τῶν Ἀθηναίων. Δίκη καὶ καταδίκη αὐτῶν εἰς θάνατον.

( **7**, 1 - 15, 34 )

Οἱ δ' ἐν οἴκῳ τούτους μὲν τοὺς στρατηγοὺς ἔπαυσαν § 1 - 3 πλὴν Κόνωνος· πρὸς δὲ τούτῳ εἵλοντο Ἀδείμαντον καὶ τρίτον Φιλοκλέα. Τῶν δὲ ναυμαχησάντων στρατηγῶν Πρωτόμαχος μὲν καὶ Ἀριστογένης οὐκ ἀπῆλθον εἰς Ἀθήνας, τῶν δὲ ἓξ καταπλευσάντων, Περικλέους καὶ Διομέδοντος καὶ Λυσίου καὶ Ἀριστοκράτους καὶ Θρασύλλου καὶ Ἐρασινίδου, Ἀρχέδημος ὁ τοῦ δήμου τότε προεστηκὼς ἐν Ἀθήναις καὶ τῆς διωβελίας ἐπιμελόμενος Ἐρασινίδῃ ἐπιβολὴν ἐπιβαλὼν κατηγόρει ἐν δικαστηρίῳ, φάσκων ἐξ Ἑλλησπόντου αὐτὸν ἔχειν χρήματα ὄντα τοῦ δήμου· κατηγόρει δὲ καὶ περὶ στρατηγίας· καὶ ἔδοξε τῷ δικαστηρίῳ δῆσαι τὸν Ἐρασινίδην. Μετὰ δὲ ταῦτα ἐν τῇ βουλῇ διηγοῦντο οἱ στρατηγοὶ περί τε τῆς ναυμαχίας καὶ τοῦ μεγέθους τοῦ χειμῶνος. Τιμοκράτους δ' εἰπόντος, ὅτι καὶ τοὺς ἄλλους χρὴ δεθέντας εἰς τὸν δῆμον παραδοθῆναι, ἡ βουλὴ ἔδησε.

Μετὰ δὲ ταῦτα ἐκκλησία ἐγένετο, ἐν ᾗ τῶν στρατηγῶν § 4 κατηγόρουν ἄλλοι τε καὶ Θηραμένης μάλιστα δίκαιον εἶναι αὐτοὺς λόγον ὑποσχεῖν, διότι οὐκ ἀνείλοντο τοὺς ναυαγούς. Ὅτι μὲν γὰρ οὐδενὸς ἄλλου καθήπτοντο, ἐπιστολὴν ἐπεδείκνυ μαρτύριον, ἣν ἔπεμψαν οἱ στρατηγοὶ εἰς τὴν βουλὴν καὶ εἰς τὸν δῆμον, ἄλλο οὐδὲν αἰτιώμενοι ἢ τὸν χειμῶνα.

Μετὰ ταῦτα δὲ οἱ στρατηγοὶ βραχέως ἕκαστος ἀπελογή- § 5 - 7 σατο, ( οὐ γὰρ προὐτέθη σφίσι λόγος κατὰ τὸν νόμον ), καὶ τὰ πεπραγμένα διηγοῦντο, ὅτι αὐτοὶ μὲν ἐπὶ τοὺς πολεμίους πλέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οιεν, τὴν δὲ ἀναίρεσιν τῶν ναυαγῶν προστάξειαν τῶν τριηράρχων ἀνδράσιν ἱκανοῖς καὶ ἐστρατηγηκόσιν ἤδη, Θηραμένει καὶ Θρασυβούλῳ καὶ ἄλλοις τοιούτοις· καὶ εἴπερ γέ τινας δέοι, περὶ τῆς ἀναιρέσεως οὐδένα ἄλλον ἔχειν αὐτοὺς αἰτιάσασθαι ἢ τούτους, οἷς προσετάχθη. Καὶ οὐχ ὅτι γε κατηγοροῦσιν ἡμῶν, ἔφασαν, ψευσόμεθα φάσκοντες αὐτοὺς αἰτίους εἶναι, ἀλλὰ τὸ μέγεθος τοῦ χειμῶνος εἶναι τὸ κωλῦσαν τὴν ἀναίρεσιν. Τούτων δὲ μάρτυρας παρείχοντο τοὺς κυβερνήτας καὶ ἄλλους τῶν συμπλεόντων πολλούς. Τοιαῦτα λέγοντες ἔπειθον τὸν δῆμον· ἐβούλοντο δὲ πολλοὶ τῶν ἰδιωτῶν ἐγγυᾶσθαι ἀνιστάμενοι· ἔδοξε δὲ ἀναβαλέσθαι εἰς ἑτέραν ἐκκλησίαν, ( τότε γὰρ ὀψὲ ἦν καὶ τὰς χεῖρας οὐκ ἂν καθεώρων ), τὴν δὲ βουλὴν προβουλεύσασαν εἰσενεγκεῖν, ὅτῳ τρόπῳ οἱ ἄνδρες κρίνοιντο.

§ 8 Μετὰ δὲ ταῦτα ἐγίγνετο 'Απατούρια, ἐν οἷς οἵ τε πατέρες καὶ οἱ συγγενεῖς σύνεισι σφίσιν αὐτοῖς. Οἱ οὖν περὶ τὸν Θηραμένη παρεσκεύασαν ἀνθρώπους μέλανα ἱμάτια ἔχοντας καὶ ἐν χρῷ κεκαρμένους πολλοὺς ἐν ταύτῃ τῇ ἑορτῇ, ἵνα πρὸς τὴν ἐκκλησίαν ἥκοιεν, ὡς δὴ συγγενεῖς ὄντες τῶν ἀπολωλότων, καὶ Καλλίξενον ἔπεισαν ἐν τῇ βουλῇ κατηγορεῖν τῶν στρατηγῶν.

§ 9 - 10 'Εντεῦθεν ἐκκλησίαν ἐποίουν, εἰς ἣν ἡ βουλὴ εἰσήνεγκε τὴν ἑαυτῆς γνώμην Καλλιξένου εἰπόντος τήνδε· « 'Επειδὴ τῶν τε κατηγορούντων κατὰ τῶν στρατηγῶν καὶ ἐκείνων ἀπολογουμένων ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀκηκόασι, διαψηφίσασθαι 'Αθηναίους ἅπαντας κατὰ φυλάς· θεῖναι δὲ εἰς τὴν φυλὴν ἑκάστην δύο ὑδρίας· ὑφ' ἑκάστῃ δὲ τῇ φυλῇ κήρυκα κηρύττειν, ὅτῳ δοκοῦσιν ἀδικεῖν οἱ στρατηγοὶ οὐκ ἀνελόμενοι τοὺς νικήσαντας ἐν τῇ ναυμαχίᾳ εἰς τὴν προτέραν ψηφίσασθαι, ὅτῳ δὲ μή, εἰς τὴν ὑστέραν· ἂν δὲ δόξωσιν ἀδικεῖν, θανάτῳ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζημιῶσαι καὶ τοῖς ἕνδεκα παραδοῦναι καὶ τὰ χρήματα δημοσιεῦσαι, τὸ δ' ἐπιδέκατον τῆς θεοῦ εἶναι ».

Παρῆλθε δέ τις εἰς τὴν ἐκκλησίαν φάσκων ἐπὶ τεύχους § 11 - 13
ἀλφίτων σωθῆναι· ἐπιστέλλειν δ' αὐτῷ τοὺς ἀπολλυμένους, ἐὰν σωθῇ, ἀπαγγεῖλαι τῷ δήμῳ, ὅτι οἱ στρατηγοὶ οὐκ ἀνείλοντο τοὺς ἀρίστους ὑπὲρ τῆς πατρίδος γενομένους. Τὸν δε Καλλίξενον προσεκαλέσαντο παράνομα φάσκοντες γεγραφέναι Εὐρυπτόλεμός τε ὁ Πεισιάνακτος καὶ ἄλλοι τινές. Τοῦ δὲ δήμου ἔνιοι ταῦτα ἐπῄνουν, τὸ δὲ πλῆθος ἐβόα δεινὸν εἶναι, εἰ μή τις ἐάσει τὸν δῆμον πράττειν, ὃ ἂν βούληται. Καὶ ἐπὶ τούτοις εἰπόντος Λυκίσκου καὶ τούτους τῇ αὐτῇ ψήφῳ κρίνεσθαι, ᾗπερ καὶ τοὺς στρατηγούς, ἐὰν μὴ ἀφῶσι τὴν κλῆσιν, ἐπεθορύβησε πάλιν ὁ ὄχλος, καὶ ἠναγκάσθησαν ἀφιέναι τὰς κλήσεις.

Τῶν δὲ πρυτάνεών τινων οὐ φασκόντων προθήσειν τὴν § 14 - 15
διαψήφισιν παρὰ τὸν νόμον, αὖθις Καλλίξενος ἀναβὰς κατηγόρει αὐτῶν τὰ αὐτά. Οἱ δὲ ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας. Οἱ δὲ πρυτάνεις φοβηθέντες ὡμολόγουν πάντες προθήσειν πλὴν Σωκράτους τοῦ Σωφρονίσκου· οὗτος δ' οὐκ ἔφη ἀλλ' ἢ κατὰ νόμον πάντα ποιήσειν.

Καὶ μετὰ ταῦτα κατεψηφίσαντο τῶν ναυμαχησάντων § 34
στρατηγῶν ὀκτὼ ὄντων· ἀπέθανον δὲ οἱ παρόντες ἕξ. Καὶ οὐ πολλῷ χρόνῳ ὕστερον μετέμελε τοῖς Ἀθηναίοις, καὶ ἐψηφίσαντο, οἵτινες τὸν δῆμον ἐξηπάτησαν, προβολὰς αὐτῶν εἶναι καὶ ἐγγυητὰς καταστῆσαι, ἕως ἂν κριθῶσιν, εἶναι δὲ καὶ Καλλίξενον τούτων. Προὐβλήθησαν δὲ καὶ ἄλλοι τέτταρες καὶ ἐδέθησαν ὑπὸ τῶν ἐγγυησαμένων. Ὕστερον δὲ στάσεώς τινος γενομένης, ἐν ᾗ Κλεοφῶν ἀπέθανεν, ἀπέδρασαν οὗτοι, πρὶν κριθῆναι· Καλλίξενος δὲ κατελθὼν ὅτε καὶ οἱ ἐκ Πειραιῶς εἰς τὸ ἄστυ, μισούμενος ὑπὸ πάντων λιμῷ ἀπέθανεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

## ΤΟ ΤΕΛΟΣ ΤΟΥ ΠΟΛΕΜΟΥ

### 3.- Ὁ Λύσανδρος ἀρχηγὸς τοῦ σπαρτιατικοῦ στόλου. Ἡ ἐν Αἰγὸς Ποταμοῖς πανωλεθρία τῶν Ἀθηναίων ( 405 π. Χ. )

( **1**, 1 - 7, 10 - 30, **2**, 1 - 2 )

**1** § 1 Οἱ δὲ ἐν τῇ Χίῳ μετὰ τοῦ Ἐτεονίκου στρατιῶται ὄντες, ἕως μὲν θέρος ἦν, ἀπό τε ὥρας ἐτρέφοντο καὶ ἐργαζόμενοι μισθοῦ κατὰ τὴν χώραν· ἐπεὶ δὲ χειμὼν ἐγένετο καὶ τροφὴν οὐκ εἶχον γυμνοί τε ἦσαν καὶ ἀνυπόδητοι, συνίσταντο ἀλλήλοις καὶ συνετίθεντο ὡς τῇ Χίῳ ἐπιθησόμενοι· οἷς δὲ ταῦτα ἀρέσκοι, κάλαμον φέρειν ἐδόκει, ἵνα ἀλλήλους μάθοιεν, ὁπόσοι εἴησαν.

§ 2 - 4 Πυθόμενος δὲ τὸ σύνθημα ὁ Ἐτεόνικος, ἠπόρει μέν, τί χρῷτο τῷ πράγματι διὰ τὸ πλῆθος τῶν καλαμηφόρων· τό τε γὰρ ἐκ τοῦ ἐμφανοῦς ἐπιχειρῆσαι σφαλερὸν ἐδόκει εἶναι, μὴ εἰς τὰ ὅπλα ὁρμήσωσι καὶ τὴν πόλιν κατασχόντες καὶ πολέμιοι γενόμενοι ἀπολέσωσι πάντα τὰ πράγματα, ἂν κρατήσωσι, τὸ τ' αὖ ἀπολλύναι ἀνθρώπους συμμάχους πολλοὺς δεινὸν ἐφαίνετο εἶναι, μή τινα καὶ εἰς τοὺς ἄλλους Ἕλληνας διαβολὴν σχοῖεν καὶ οἱ στρατιῶται δύσνοι πρὸς τὰ πράγματα ὦσιν. Ἀναλαβὼν δὲ μεθ' ἑαυτοῦ ἄνδρας πεντεκαίδεκα ἐγχειρίδια ἔχοντας ἐπορεύετο κατὰ τὴν πόλιν· καὶ ἐντυχὼν τινι ὀφθαλμιῶντι ἀνθρώπῳ ἀπιόντι ἐξ ἰατρείου, κάλαμον ἔχοντι, ἀπέκτεινε, θορύβου δὲ γενομένου καὶ ἐρωτώντων τινῶν, διὰ τί ἀπέθανεν ὁ ἄνθρωπος, παραγγέλλειν ἐκέλευεν ὁ Ἐτεό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νικος, ὅτι τὸν κάλαμον εἶχε. Κατὰ δὲ τὴν παραγγελίαν ἐρρίπτουν πάντες, ὅσοι εἶχον τοὺς καλάμους, ἀεὶ ὁ ἀκούων δεδιώς, μὴ ὀφθείη ἔχων.

Μετὰ δὲ ταῦτα ὁ Ἐτεόνικος συγκαλέσας τοὺς Χίους χρή- § 5
ματα ἐκέλευσε συνενεγκεῖν, ὅπως οἱ ναῦται λάβωσι μισθὸν καὶ μὴ νεωτερίσωσί τι· οἱ δὲ εἰσήνεγκαν· ἅμα δὲ εἰς τὰς ναῦς ἐσήμηνεν εἰσβαίνειν· προσιὼν δὲ ἐν μέρει παρ' ἑκάστην ναῦν παρεθάρρυνέ τε καὶ παρῄνει πολλά, ὡς τοῦ γεγενημένου οὐδὲν εἰδώς, καὶ μισθὸν ἑκάστῳ μηνὸς διέδωκε.

Μετὰ δὲ ταῦτα οἱ Χῖοι καὶ οἱ ἄλλοι σύμμαχοι συλλε- § 6 - 7
γέντες εἰς Ἔφεσον, ἐβουλεύσαντο περὶ τῶν ἐνεστηκότων πραγμάτων πέμπειν εἰς Λακεδαίμονα πρέσβεις ταῦτά τε ἐροῦντας καὶ Λύσανδρον αἰτήσοντας ἐπὶ τὰς ναῦς, εὖ φερόμενον παρὰ τοῖς συμμάχοις κατὰ τὴν προτέραν ναυαρχίαν, ὅτε καὶ τὴν ἐν Νοτίῳ ἐνίκησε ναυμαχίαν. Καὶ ἀπεπέμφθησαν πρέσβεις, σὺν αὐτοῖς δὲ καὶ παρὰ Κύρου ταὐτὰ λέγοντες ἄγγελοι. Οἱ δὲ Λακεδαιμόνιοι ἔδοσαν τὸν Λύσανδρον ὡς ἐπιστολέα, ναύαρχον δὲ Ἄρακον· οὐ γὰρ νόμος αὐτοῖς δὶς τὸν αὐτὸν ναυαρχεῖν· τὰς μέντοι ναῦς παρέδοσαν Λυσάνδρῳ.

Τῷ δ' ἀπιόντι ἔτει Λύσανδρος ἀφικόμενος εἰς Ἔφεσον § 10 - 12
μετεπέμψατο Ἐτεόνικον ἐκ Χίου σὺν ταῖς ναυσί, καὶ τὰς ἄλλας πάσας συνήθροισεν, εἴ πού τις ἦν, καὶ ταύτας τ' ἐπεσκεύαζε καὶ ἄλλας ἐν Ἀντάνδρῳ ἐναυπηγεῖτο. Ἐλθὼν δὲ παρὰ Κῦρον χρήματα ᾔτει· ὁ δ' αὐτῷ εἶπεν, ὅτι τὰ μὲν παρὰ βασιλέως ἀνηλωμένα εἴη, καὶ ἔτι πλείω πολλῷ, δεικνύων ὅσα ἕκαστος τῶν ναυάρχων ἔχοι, ὅμως δ' ἔδωκε· λαβὼν δὲ ὁ Λύσανδρος τ' ἀργύριον, ἐπὶ τὰς τριήρεις τριηράρχους ἐπέστησε καὶ τοῖς ναύταις τὸν ὀφειλόμενον μισθὸν ἀπέδωκε. Παρεσκευάζοντο δὲ καὶ οἱ τῶν Ἀθηναίων στρατηγοὶ πρὸς τὸ ναυτικὸν ἐν τῇ Σάμῳ.

Κῦρος δ' ἐπὶ τούτοις μετεπέμψατο Λύσανδρον, ἐπεὶ αὐ- § 13 - 14

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῷ παρὰ τοῦ πατρὸς ἧκεν ἄγγελος λέγων, ὅτι ἀρρωστῶν ἐκεῖνον καλοίη, ὢν ἐν Θαμνηρίοις τῆς Μηδίας ἐγγὺς Καδουσίων, ἐφ' οὓς ἐστράτευσεν ἀφεστῶτας. Ἥκοντα δὲ Λύσανδρον οὐκ εἴα ναυμαχεῖν πρὸς Ἀθηναίους, ἐὰν μὴ πολλῷ πλείους ναῦς ἔχῃ· εἶναι γὰρ ἔλεγε χρήματα πολλὰ καὶ βασιλεῖ καὶ αὐτῷ, ὥστε τούτου ἕνεκεν πολλὰς πληροῦν. Παρέδειξε δ' αὐτῷ πάντας τοὺς φόρους τοὺς ἐκ πόλεων, οἵ αὐτῷ ἴδιοι ἦσαν, καὶ περιττὰ χρήματα ἔδωκε· καὶ ἀναμνήσας ὡς εἶχε φιλίας πρός τε τὴν τῶν Λακεδαιμονίων πόλιν καὶ πρὸς Λύσανδρον ἰδίᾳ ἀνέβαινε παρὰ τὸν πατέρα.

§ 15 Λύσανδρος δ' ἐπεὶ αὐτῷ Κῦρος πάντα παραδοὺς τὰ αὑτοῦ πρὸς τὸν πατέρα ἀρρωστοῦντα μετάπεμπτος ἐνέβαινε, μισθὸν διαδιδοὺς τῇ στρατιᾷ ἀνήχθη τῆς Καρίας εἰς τὸν Κεράμειον κόλπον. Καὶ προσβαλὼν πόλει τῶν Ἀθηναίων συμμάχῳ ὄνομα Κεδρείαις, τῇ ὑστεραίᾳ προσβολῇ κατὰ κράτος αἱρεῖ καὶ ἐξηνδραπόδισεν· ἦσαν δὲ μειξοβάρβαροι οἱ ἐνοικοῦντες. Ἐκεῖθεν δ' ἀπέπλευσαν εἰς Ῥόδον.

§ 16 Οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Σάμου ὁρμώμενοι τὴν βασιλέως κακῶς ἐποίουν, καὶ ἐπὶ τὴν Χίον καὶ τὴν Ἔφεσον ἐπέπλεον, καὶ παρεσκευάζοντο πρὸς ναυμαχίαν, καὶ στρατηγοὺς πρὸς τοῖς ὑπάρχουσι προσείλοντο Μένανδρον, Τυδέα, Κηφισόδοτον.

§ 17 - 21 Λύσανδρος δ' ἐκ τῆς Ῥόδου παρὰ τὴν Ἰωνίαν ἐκπλεῖ πρὸς τὸν Ἑλλήσποντον πρός τε τῶν πλοίων τὸν ἔκπλουν καὶ ἐπὶ τὰς ἀφεστηκυίας αὐτῶν πόλεις. Ἀνήγοντο δὲ καὶ οἱ Ἀθηναῖοι ἐκ τῆς Χίου πελάγιοι· ἡ γὰρ Ἀσία πολεμία αὐτοῖς ἦν. Λύσανδρος δ' ἐξ Ἀβύδου παρέπλει εἰς Λάμψακον σύμμαχον οὖσαν Ἀθηναίων καὶ οἱ Ἀβυδηνοὶ καὶ οἱ ἄλλοι παρῆσαν πεζῇ· ἡγεῖτο δὲ Θώραξ Λακεδαιμόνιος· προσβαλόντες δὲ τῇ πόλει αἱροῦσι κατὰ κράτος, καὶ διήρπασαν οἱ στρατιῶται οὖσαν πλουσίαν καὶ οἴνου καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πλήρη· τὰ δὲ ἐλεύθερα σώματα πάντα ἀφῆκε Λύ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σανδρος· οἱ δ' Ἀθηναῖοι κατὰ πόδας πλέοντες ὡρμίσαντο τῆς Χερρονήσου ἐν Ἐλαιοῦντι ναυσὶν ὀγδοήκοντα καὶ ἑκατόν· ἐνταῦθα δὴ ἀριστοποιουμένοις αὐτοῖς ἀγγέλλεται τὰ περὶ Λάμψακον, καὶ εὐθὺς ἀνήχθησαν εἰς Σηστόν, ἐκεῖθεν δ' εὐθὺς ἐπισιτισάμενοι ἔπλευσαν εἰς Αἰγὸς ποταμοὺς ἀντίον τῆς Λαμψάκου· διέχει δ' ὁ Ἑλλήσποντος ταύτῃ σταδίους ὡς πεντεκαίδεκα. Ἐνταῦθα δὲ ἐδειπνοποιοῦντο.

Λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτί, ἐπεὶ ὄρθιος ἦν, ἐσήμη- § 22 - 24
νεν εἰς τὰς ναῦς ἀριστοποιησαμένους εἰσβαίνειν, πάντα δὲ παρασκευασάμενος ὡς εἰς ναυμαχίαν καὶ τὰ παραβλήματα παραβαλών, προεῖπεν, ὡς μηδεὶς κινήσοιτο ἐκ τῆς τάξεως μηδὲ ἀνάξοιτο. Οἱ δὲ Ἀθηναῖοι ἅμα τῷ ἡλίῳ ἀνίσχοντι ἐπὶ τῷ λιμένι παρετάξαντο ἐν μετώπῳ ὡς εἰς ναυμαχίαν. Ἐπεὶ δὲ οὐκ ἀντανήγαγε Λύσανδρος καὶ τῆς ἡμέρας ὀψὲ ἦν, ἀπέπλευσαν πάλιν εἰς τοὺς Αἰγὸς ποταμούς. Λύσανδρος δὲ τὰς ταχίστας τῶν νεῶν ἐκέλευσεν ἕπεσθαι τοῖς Ἀθηναίοις, ἐπειδὰν δὲ ἐκβῶσι, κατιδόντας ὅ,τι ποιοῦσιν, ἀποπλεῖν καὶ αὐτῷ ἐξαγγεῖλαι. Καὶ οὐ πρότερον ἐξεβίβασεν ἐκ τῶν νεῶν, πρὶν αὗται ἧκον. Ταῦτα δ' ἐποίει τέτταρας ἡμέρας· καὶ οἱ Ἀθηναῖοι ἐπανήγοντο.

Ἀλκιβιάδης δὲ κατιδὼν ἐκ τῶν τειχῶν τοὺς μὲν Ἀθη- § 25 - 26
ναίους ἐν αἰγιαλῷ ὁρμοῦντας καὶ πρὸς οὐδεμιᾷ πόλει, τὰ δ' ἐπιτήδεια ἐκ Σηστοῦ μετιόντας πεντεκαίδεκα σταδίους ἀπὸ τῶν νεῶν, τοὺς δὲ πολεμίους ἐν λιμένι καὶ πρὸς πόλει ἔχοντας πάντα, οὐκ ἐν καλῷ ἔφη αὐτοὺς ὁρμεῖν, ἀλλὰ μεθορμίσαι εἰς Σηστὸν παρῄνει πρός τε λιμένα καὶ πρὸς πόλιν. « Οὗ ὄντες ναυμαχήσετε », ἔφη, « ὅταν βούλησθε ». Οἱ δὲ στρατηγοί, μάλιστα δὲ Τυδεὺς καὶ Μένανδρος, ἀπιέναι αὐτὸν ἐκέλευσαν· αὐτοὶ γὰρ νῦν στρατηγεῖν οὐκ ἐκεῖνον. Καὶ ὁ μὲν ᾤχετο.

Λύσανδρος δ', ἐπεὶ ἦν ἡμέρα πέμπτη ἐπιπλέουσι τοῖς § 27
Ἀθηναίοις, εἶπε τοῖς παρ' αὐτοῦ ἑπομένοις, ἐπειδὰν κατίδω-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιν αὐτοὺς ἐκβεβηκότας καὶ ἐσκεδασμένους κατὰ τὴν Χερρόνησον, ὅπερ ἐποίουν πολὺ μᾶλλον καθ' ἑκάστην ἡμέραν, τά τε σιτία πόρρωθεν ὠνούμενοι καὶ καταφρονοῦντες δὴ τοῦ Λυσάνδρου, ὅτι οὐκ ἀντανῆγεν, ἀποπλέοντας τοὔμπαλιν παρ' αὐτὸν ἆραι ἀσπίδα κατὰ μέσον τὸν πλοῦν· οἱ δὲ ταῦτα ἐποίησαν, ὡς ἐκέλευσε. Λύσανδρος δ' εὐθὺς ἐσήμηνε τὴν ταχίστην πλεῖν· συμπαρῄει δὲ καὶ Θώραξ τὸ πεζὸν ἔχων.

§ 23 - 29 Κόνων δὲ ἰδὼν τὸν ἐπίπλουν, ἐσήμηνεν εἰς τὰς ναῦς βοηθεῖν κατὰ κράτος. Διεσκεδασμένων δὲ τῶν ἀνθρώπων, αἱ μὲν τῶν νεῶν δίκροτοι ἦσαν, αἱ δὲ μονόκροτοι, αἱ δὲ παντελῶς κεναί· ἡ δὲ Κόνωνος καὶ ἄλλαι περὶ αὐτὸν ἑπτὰ πλήρεις ἀνήχθησαν ἀθρόαι καὶ ἡ Πάραλος, τὰς δ' ἄλλας πάσας Λύσανδρος ἔλαβε πρὸς τῇ γῇ. Τοὺς δὲ πλείστους ἄνδρας ἐν τῇ γῇ συνέλεξεν· οἱ δὲ καὶ ἔφυγον εἰς τὰ τειχύδρια. Κόνων δὲ ταῖς ἐννέα ναυσὶ φεύγων, ἐπεὶ ἔγνω τῶν Ἀθηναίων τὰ πράγματα διεφθαρμένα, κατασχὼν ἐπὶ τὴν Ἀβαρνίδα τὴν Λαμψάκου ἄκραν ἔλαβεν αὐτόθεν τὰ μεγάλα τῶν Λυσάνδρου νεῶν ἱστία. Καὶ αὐτὸς μὲν ὀκτὼ ναυσὶν ἀπέπλευσε παρ' Εὐαγόραν εἰς Κύπρον, ἡ δὲ Πάραλος εἰς τὰς Ἀθήνας ἀπαγγελοῦσα τὰ γεγονότα.

§ 30 Λύσανδρος δὲ τάς τε ναῦς καὶ τοὺς αἰχμαλώτους καὶ τἆλλα πάντα εἰς Λάμψακον ἀπήγαγεν, ἔλαβε δὲ καὶ τῶν στρατηγῶν ἄλλους τέ καὶ Φιλοκλέα καὶ Ἀδείμαντον. Τῇ δ' ἡμέρᾳ, ᾗ ταῦτα κατειργάσατο, ἔπεμψε Θεόπομπον τὸν Μιλήσιον λῃστὴν εἰς Λακεδαίμονα ἀπαγγελοῦντα τὰ γεγονότα, ὃς ἀφικόμενος τριταῖος ἀπήγγειλεν.

2, § 1 - 2 Ἐπεὶ δὲ τὰ ἐν τῇ Λαμψάκῳ κατεστήσατο, ἔπλει ἐπὶ τὸ Βυζάντιον καὶ Καλχηδόνα. Οἱ δ' αὐτὸν ὑπεδέχοντο, τοὺς τῶν Ἀθηναίων φρουροὺς ὑποσπόνδους ἀφέντες. Οἱ δὲ προδόντες Ἀλκιβιάδῃ τὸ Βυζάντιον τότε μὲν ἔφυγον εἰς τὸν Πόντον, ὕστερον δ' εἰς Ἀθήνας καὶ ἐγένοντο Ἀθηναῖοι. Λύσανδρος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ τούς τε φρουροὺς τῶν Ἀθηναίων καὶ εἴ τινά που ἄλλον ἴδοι Ἀθηναῖον ἀπέπεμπεν εἰς τὰς Ἀθήνας διδοὺς ἐκεῖσε μόνον πλέουσιν ἀσφάλειαν, ἄλλοσε δ' οὔ, εἰδὼς ὅτι, ὅσῳ ἂν πλείους συλλεγῶσιν εἰς τὸ ἄστυ καὶ τὸν Πειραιᾶ, τοσούτῳ θᾶττον τῶν ἐπιτηδείων ἔνδεια ἔσοιτο. Καταλιπὼν δὲ Βυζαντίου καὶ Καλχηδόνος Σθενέλαον ἁρμοστὴν Λάκωνα, αὐτὸς ἀποπλεύσας εἰς Λάμψακον τὰς ναῦς ἐπεσκεύαζεν.

### 4. Ἡ ἐκ τῆς καταστροφῆς ἐντύπωσις ἐν Ἀθήναις.

( **2**, 3 - 4 )

Ἐν δὲ ταῖς Ἀθήναις τῆς Παράλου ἀφικομένης νυκτὸς § 3 - 4
ἐλέγετο ἡ συμφορά, καὶ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ τῶν μακρῶν τειχῶν εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων· ὥστ' ἐκείνης τῆς νυκτὸς οὐδεὶς ἐκοιμήθη, οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες, ἀλλὰ πολὺ μᾶλλον ἔτι αὐτοὶ ἑαυτούς, πείσεσθαι νομίζοντες οἷα ἐποίησαν Μηλίους τε Λακεδαιμονίων ἀποίκους ὄντας κρατήσαντες πολιορκίᾳ καὶ Ἱστιαιέας καὶ Σκιωναίους καὶ Τορωναίους καὶ Αἰγινήτας καὶ ἄλλους πολλοὺς τῶν Ἑλλήνων. Τῇ δ' ὑστεραίᾳ ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἔδοξε τούς τε λιμένας ἀποχῶσαι πλὴν ἑνὸς καὶ τὰ τείχη εὐτρεπίζειν καὶ φυλακὰς ἐφιστάναι καὶ τἆλλα πάντα ὡς εἰς πολιορκίαν παρασκευάζειν τὴν πόλιν. Καὶ οὗτοι μὲν περὶ ταῦτα ἦσαν.

### 5. Πολιορκία τῶν Ἀθηνῶν. Αἱ περὶ εἰρήνης διαπραγματεύσεις.

( **2**, 5 - 8, 10 - 19 )

Λύσανδρος δ' ἐκ τοῦ Ἑλλησπόντου ναυσὶ διακοσίαις ἀφι- § 5 - 7
κόμενος εἰς Λέσβον κατεσκευάσατο τάς τε ἄλλας πόλεις ἐν αὐτῇ καὶ Μυτιλήνην· εἰς δὲ τὰ ἐπὶ Θράκης χωρία ἔπεμψεν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐτεόνικον δέκα τριήρεις ἔχοντα, ὃς τὰ ἐκεῖ πάντα πρὸς Λακεδαιμονίους μετέστησεν. Εὐθὺς δὲ καὶ ἡ ἄλλη Ἑλλὰς ἀφειστήκει Ἀθηναίων μετὰ τὴν ναυμαχίαν πλὴν Σαμίων· οὗτοι δὲ σφαγὰς τῶν γνωρίμων ποιήσαντες κατεῖχον τὴν πόλιν. Λύσανδρος δὲ μετὰ ταῦτα ἔπεμψεν ἄγγελον πρὸς Ἆγίν τε εἰς Δεκέλειαν καὶ εἰς Λακεδαίμονα ἐροῦντα, ὅτι προσπλεῖ σὺν διακοσίαις ναυσί.

§ 8 Λακεδαιμόνιοι δ' ἐξῆσαν πανδημεὶ καὶ οἱ ἄλλοι Πελοποννήσιοι πλὴν Ἀργείων, παραγγείλαντος τοῦ ἑτέρου Λακεδαιμονίων βασιλέως Παυσανίου. Ἐπεὶ δ' ἅπαντες ἠθροίσθησαν, ἀναλαβὼν αὐτοὺς πρὸς τὴν πόλιν ἐστρατοπέδευσεν ἐν τῇ Ἀκαδημείᾳ τῷ καλουμένῳ γυμνασίῳ. Λύσανδρος δὲ ἀφικόμενος εἰς Αἴγιναν ἀπέδωκε τὴν πόλιν Αἰγινήταις, ὅσους ἐδύνατο πλείστους αὐτῶν ἀθροίσας, ὡσαύτως δὲ καὶ Μηλίοις καὶ τοῖς ἄλλοις, ὅσοι τῆς αὐτῶν ἐστέροντο. Μετὰ δὲ τοῦτο δῃώσας Σαλαμῖνα ὡρμίσατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατόν, καὶ τὰ πλοῖα εἶργε τοῦ εἴσπλου.

§ 10 - 12 Οἱ δ' Ἀθηναῖοι πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν ἠπόρουν, τί χρὴ ποιεῖν, οὔτε νεῶν οὔτε συμμάχων αὐτοῖς ὄντων οὔτε σίτου· ἐνόμιζον δὲ οὐδεμίαν εἶναι σωτηρίαν μὴ παθεῖν, ἃ οὐ τιμωρούμενοι ἐποίησαν, ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν ἀνθρώπους μικροπολίτας ἐπ' οὐδεμιᾷ αἰτίᾳ ἑτέρᾳ ἢ ὅτι ἐκείνοις συνεμάχουν. Διὰ ταῦτα τοὺς ἀτίμους ἐπιτίμους ποιήσαντες ἐκαρτέρουν, καὶ ἀποθνῃσκόντων ἐν τῇ πόλει λιμῷ πολλῶν οὐ διελέγοντο περὶ διαλλαγῆς. Ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπελελοίπει, ἔπεμψαν πρέσβεις παρ' Ἆγιν, βουλόμενοι σύμμαχοι εἶναι Λακεδαιμονίοις ἔχοντες τὰ τείχη καὶ τὸν Πειραιᾶ καὶ ἐπὶ τούτοις συνθήκας ποιεῖσθαι. Ὁ δὲ αὐτοὺς εἰς Λακεδαίμονα ἐκέλευεν ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός. Ἐπεὶ δ' ἀπήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμψαν αὐτοὺς εἰς Λακεδαίμονα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οἱ δ' ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ πλησίον τῆς Λακωνικῆς καὶ ἐπύθοντο οἱ ἔφοροι αὐτῶν, ἃ ἔλεγον, ὄντα οἷάπερ καὶ πρὸς Ἆγιν, αὐτόθεν αὐτοὺς ἐκέλευον ἀπιέναι, καὶ εἴ τι δέονται εἰρήνης, κάλλιον ἥκειν βουλευσαμένους. § 13

Οἱ δὲ πρέσβεις ἐπεὶ ἧκον οἴκαδε καὶ ἀπήγγειλαν ταῦτα εἰς τὴν πόλιν, ἀθυμία ἐνέπεσε πᾶσιν· ᾤοντο γὰρ ἀνδραποδισθήσεσθαι, καὶ ἕως ἂν πέμπωσιν ἑτέρους πρέσβεις, πολλοὺς τῷ λιμῷ ἀπολεῖσθαι. Περὶ δὲ τῶν τειχῶν τῆς καθαιρέσεως οὐδεὶς ἐβούλετο συμβουλεύειν. Ἀρχέστρατος γὰρ εἰπὼν ἐν τῇ βουλῇ Λακεδαιμονίοις κράτιστον εἶναι, ἐφ' οἷς προὐκαλοῦντο, εἰρήνην ποιεῖσθαι ἐδέθη· προὐκαλοῦντο δὲ τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκατέρου. Ἐγένετο δὲ ψήφισμα μὴ ἐξεῖναι περὶ τούτου συμβουλεύειν. § 14 - 15

Τοιούτων δὲ ὄντων Θηραμένης εἶπεν ἐν ἐκκλησίᾳ ὅτι, εἰ βούλονται αὐτὸν πέμψαι παρὰ Λύσανδρον, εἰδὼς ἥξει Λακεδαιμονίους πότερον ἐξανδραποδίσασθαι τὴν πόλιν βουλόμενοι ἀντέχουσι περὶ τῶν τειχῶν ἢ πίστεως ἕνεκα. Πεμφθεὶς δὲ διέτριβε παρὰ Λυσάνδρῳ τρεῖς μῆνας καὶ πλέον, ἐπιτηρῶν ὁπότε Ἀθηναῖοι ἔμελλον διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖτον ἅπαντα, ὅ,τι τις λέγοι ὁμολογήσειν. Ἐπεὶ δὲ ἧκε τετάρτῳ μηνί, ἀπήγγειλεν ἐν ἐκκλησίᾳ, ὅτι αὐτὸν Λύσανδρος τέως μὲν κατέχοι, εἶτα κελεύοι εἰς Λακεδαίμονα ἰέναι· οὐ γὰρ εἶναι κύριος ὧν ἐρωτῷτο ὑπ' αὐτοῦ, ἀλλὰ τοὺς ἐφόρους. § 16 - 17

Μετὰ ταῦτα ᾑρέθη πρεσβευτὴς εἰς Λακεδαίμονα αὐτοκράτωρ δέκατος αὐτός. Λύσανδρος δὲ τοῖς ἐφόροις ἔπεμψεν ἀγγελοῦντα μετ' ἄλλων Λακεδαιμονίων Ἀριστοτέλη φυγάδα Ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο Θηραμένει ἐκείνους κυρίους εἶναι εἰρήνης καὶ πολέμου. Θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ, ἐρωτώμενοι δέ, ἐπὶ τίνι λόγῳ ἥκοιεν, εἶπον, ὅτι αὐτοκράτορες περὶ εἰρήνης, μετὰ ταῦτα οἱ ἔφοροι καλεῖν ἐκέλευον αὐτούς. § 18 - 19



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 6. Οἱ ὅροι τῆς Εἰρήνης.

( **2**, 20 - 23 )

§ 20 Ἐπεὶ δ' ἧκον, ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἀντέλεγον Κορίνθιοι καὶ Θηβαῖοι μάλιστα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλήνων, μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ' ἐξαιρεῖν. Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις κινδύνοις γενομένοις τῇ Ἑλλάδι, ἀλλ' ἐποιοῦντο εἰρήνην, ἐφ' ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας καὶ τοὺς φυγάδας καταγαγόντας τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας Λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὅποι ἂν ἡγῶνται.

§ 21 - 23 Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανέφερον ταῦτα εἰς τὰς Ἀθήνας. Εἰσιόντας δ' αὐτοὺς ὄχλος περιεχεῖτο πολύς, φοβούμενοι μὴ ἄπρακτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν διὰ τὸ πλῆθος τῶν ἀπολλυμένων τῷ λιμῷ. Τῇ δὲ ὑστεραίᾳ ἀπήγγελλον οἱ πρέσβεις, ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης, λέγων, ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις καὶ τὰ τείχη περιαιρεῖν. Ἀντειπόντων δέ τινων αὐτῷ, πολὺ δὲ πλειόνων συνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρήνην. Μετὰ δὲ ταῦτα Λύσανδρός τε κατέπλει εἰς τὸν Πειραιᾶ καὶ οἱ φυγάδες κατῆσαν καὶ τὰ τείχη κατέσκαπτον ὑπ' αὐλητρίδων πολλῇ προθυμίᾳ, νομίζοντες ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

## ΕΚΣΤΡΑΤΕΙΑ ΤΩΝ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΕΙΣ Μ. ΑΣΙΑΝ

### 7. Ὁ Θίβρων εἰς τὴν Ἰωνίαν.

(1, 1 - 8)

Ἡ μὲν δὴ Ἀθήνησι στάσις οὕτως ἐτελεύτησεν. Ἐκ δὲ § 1 - 2 τούτου πέμψας Κῦρος ἀγγέλους εἰς Λακεδαίμονα ἠξίου, οἷόσπερ αὐτὸς Λακεδαιμονίοις ἦν ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ τοιούτους καὶ Λακεδαιμονίους αὐτῷ γίγνεσθαι. Οἱ δ' ἔφοροι, δίκαια νομίσαντες λέγειν αὐτόν, Σαμίῳ τῷ τότε ναυάρχῳ ἐπέστειλαν ὑπηρετεῖν Κύρῳ, εἴ τι δέοιτο. Κἀκεῖνος μέντοι προθύμως, ὅπερ ἐδεήθη ὁ Κῦρος, ἔπραξεν· ἔχων γὰρ τὸ ἑαυτοῦ ναυτικὸν σὺν τῷ Κύρου περιέπλευσεν εἰς Κιλικίαν καὶ ἐποίησε τὸν τῆς Κιλικίας ἄρχοντα Συέννεσιν μὴ δύνασθαι κατὰ γῆν ἐναντιοῦσθαι Κύρῳ πορευομένῳ ἐπὶ βασιλέα. Ὡς μὲν οὖν Κῦρος στράτευμά τε συνέλεξε καὶ τοῦτ' ἔχων ἀνέβη ἐπὶ τὸν ἀδελφόν, καὶ ὡς ἡ μάχη ἐγένετο, καὶ ὡς ἀπέθανε, καὶ ὡς ἐκ τούτου ἀπεσώθησαν οἱ Ἕλληνες ἐπὶ θάλατταν, Θεμιστογένει τῷ Συρακοσίῳ γέγραπται.

Ἐπεὶ μέντοι Τισσαφέρνης, πολλοῦ ἄξιος βασιλεῖ δόξας § 3 γεγενῆσθαι ἐν τῷ πρὸς τὸν ἀδελφὸν πολέμῳ, σατράπης κατεπέμφθη ὧν τε αὐτὸς πρόσθεν ἦρχε καὶ ὧν Κῦρος, εὐθὺς ἠξίου τὰς Ἰωνικὰς πόλεις ἁπάσας ἑαυτῷ ὑπηκόους εἶναι. Αἱ δὲ ἅμα μὲν ἐλεύθεραι βουλόμεναι εἶναι, ἅμα δὲ φοβούμεναι τὸν Τισσαφέρνην, ὅτι Κῦρον, ὅτ' ἔζη, ἀντ' ἐκείνου ᾑρημέναι ἦσαν, εἰς μὲν τὰς πόλεις οὐκ ἐδέχοντο αὐτόν, εἰς Λακεδαίμονα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ ἔπεμπον πρέσβεις καὶ ἠξίουν, ἐπεὶ πάσης τῆς Ἑλλάδος προστάται εἰσίν, ἐπιμεληθῆναι καὶ σφῶν τῶν ἐν Ἀσίᾳ Ἑλλήνων, ὅπως ἥ τε χώρα μὴ δῃοῖτο αὐτῶν καὶ αὐτοὶ ἐλεύθεροι εἶεν.

§ 4 Οἱ οὖν Λακεδαιμόνιοι πέμπουσιν αὐτοῖς Θίβρωνα ἁρμοστήν, δόντες στρατιώτας τῶν μὲν νεοδαμώδων εἰς χιλίους, τῶν δὲ ἄλλων Πελοποννησίων εἰς τετρακισχιλίους· ᾐτήσατο δ' ὁ Θίβρων καὶ παρ' Ἀθηναίων τριακοσίους ἱππέας εἰπών, ὅτι αὐτὸς μισθὸν παρέξει. Οἱ δ' ἔπεμψαν τῶν ἐπὶ τῶν τριάκοντα ἱππευσάντων, νομίζοντες κέρδος τῷ δήμῳ, εἰ ἀποδημοῖεν καὶ ἐναπόλοιντο.

§ 5 Ἐπεὶ δ' εἰς τὴν Ἀσίαν ἀφίκοντο, συνήγαγε στρατιώτας καὶ ἐκ τῶν ἐν τῇ ἠπείρῳ Ἑλληνίδων πόλεων· πᾶσαι γὰρ τότε αἱ πόλεις ἐπείθοντο, ὅ,τι Λακεδαιμόνιος ἀνὴρ ἐπιτάττοι. Καὶ σὺν μὲν ταύτῃ τῇ στρατιᾷ ὁρῶν Θίβρων πρὸς τὸ ἱππικὸν εἰς τὸ πεδίον οὐ κατέβαινεν, ἠγάπα δέ, εἰ, ὅπου τυγχάνει ὤν, δύναιτο ταύτην τὴν χώραν ἀδῄωτον διαφυλάττειν.

§ 6 Ἐπεὶ δὲ σωθέντες οἱ ἀναβάντες μετὰ Κύρου συνέμειξαν αὐτῷ, ἐκ τούτου ἤδη καὶ ἐν τοῖς πεδίοις ἀντετάττετο τῷ Τισσαφέρνει καὶ πόλεις Πέργαμον μὲν ἑκοῦσαν προσέλαβε καὶ Τευθρανίαν καὶ Ἁλίσαρναν, ὧν Εὐρυσθένης τε καὶ Προκλῆς ἦρχον οἱ ἀπὸ Δημαράτου τοῦ Λακεδαιμονίου· ἐκείνῳ δὲ αὕτη ἡ χώρα δῶρον ἐκ βασιλέως ἐδόθη ἀντὶ τῆς ἐπὶ τὴν Ἑλλάδα συστρατείας· προσεχώρησαν δὲ αὐτῷ καὶ Γοργίων καὶ Γογγύλος, ἀδελφοὶ ὄντες, ἔχοντες ὁ μὲν Γάμβριον καὶ Παλαιγάμβριον, ὁ δὲ Μύριναν καὶ Γρύνειον· δῶρον δὲ καὶ αὗται αἱ πόλεις ἦσαν παρὰ βασιλέως Γογγύλῳ, ὅτι μόνος Ἐρετριέων μηδίσας ἔφυγε.

§ 7 Τινὰς δ' ἀσθενεῖς οὔσας καὶ κατὰ κράτος ὁ Θίβρων ἐλάμβανε. Λάρισάν γε μὴν τὴν Αἰγυπτίαν καλουμένην, ἐπεὶ οὐκ ἐπείθετο, περιστρατοπεδευσάμενος ἐπολιόρκει. Ἐπεὶ δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄλλως οὐκ ἐδύνατο ἑλεῖν, φρεατίαν τεμόμενος ὑπόνομον ὤρυττεν, ὡς ἀφαιρησόμενος τὸ ὕδωρ αὐτῶν. Ὡς δ' ἐκ τοῦ τείχους ἐκθέοντες πολλάκις ἐνέβαλλον εἰς τὸ ὄρυγμα καὶ ξύλα καὶ λίθους, ποιησάμενος αὖ χελώνην ξυλίνην ἐπέστησεν ἐπὶ τῇ φρεατίᾳ. Καὶ ταύτην μέντοι ἐκδραμόντες οἱ Λαρισαῖοι νύκτωρ κατέκαυσαν. Δοκοῦντος δ' αὐτοῦ οὐδὲν ποιεῖν, πέμπουσιν οἱ ἔφοροι ἀπολιπόντα Λάρισαν στρατεύεσθαι ἐπὶ Καρίαν.

Ἐν Ἐφέσῳ δὲ ἤδη ὄντος αὐτοῦ ὡς ἐπὶ Καρίαν πορευσομένου, Δερκυλίδας ἄρξων ἀφίκετο ἐπὶ τὸ στράτευμα, ἀνὴρ δοκῶν εἶναι μάλα μηχανητικός· καὶ ἐπεκαλεῖτο δὲ Σίσυφος. Ὁ μὲν οὖν Θίβρων ἀπῆλθεν οἴκαδε καὶ ζημιωθεὶς ἔφυγε· κατηγόρουν γὰρ αὐτοῦ οἱ σύμμαχοι, ὡς ἐφείη ἁρπάζειν τῷ στρατεύματι τοὺς φίλους. § 8

## 8. Ὁ Δερκυλίδας εἰς τὴν Αἰολίδα

( **1**, 9, 16 - 28, **2**, 1 - 2 )

Ὁ δὲ Δερκυλίδας ἐπεὶ παρέλαβε τὸ στράτευμα, γνοὺς **1** § 9
ὑπόπτους ὄντας ἀλλήλοις τὸν Τισσαφέρνην καὶ τὸν Φαρνάβαζον, κοινολογησάμενος τῷ Τισσαφέρνει ἀπήγαγεν εἰς τὴν Φαρναβάζου χώραν τὸ στράτευμα, ἑλόμενος θατέρῳ μᾶλλον ἢ ἅμα ἀμφοτέροις πολεμεῖν. Ἦν δὲ καὶ πρόσθεν ὁ Δερκυλίδας πολέμιος τῷ Φαρναβάζῳ· ἁρμοστὴς γὰρ γενόμενος ἐν Ἀβύδῳ ἐπὶ Λυσάνδρου ναυαρχοῦντος, διαβληθεὶς ὑπὸ Φαρναβάζου ἐστάθη τὴν ἀσπίδα ἔχων, ὃ δοκεῖ κηλὶς εἶναι τοῖς σπουδαίοις Λακεδαιμονίων· ἀταξίας γὰρ ζημίωμά ἐστι. Καὶ διὰ ταῦτα δὴ πολὺ ἥδιον ἐπὶ τὸν Φαρνάβαζον ᾔει. Καὶ εὐθὺς μὲν τοσούτῳ διέφερεν εἰς τὸ ἄρχειν τοῦ Θίβρωνος, ὥστε παρήγαγε τὸ στράτευμα διὰ τῆς φιλίας χώρας μέχρι τῆς Φαρναβάζου Αἰολίδος οὐδὲν βλάψας τοὺς συμμάχους.

Καὶ εὐθὺς μὲν ἐν μιᾷ ἡμέρᾳ Λάρισαν καὶ Ἁμαξιτὸν καὶ **§ 16 - 17**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Κολωνὰς τὰς ἐπιθαλαττίους πόλεις ἑκούσας παρέλαβε· πέμπων δὲ καὶ πρὸς τὰς Αἰολίδας πόλεις ἠξίου ἐλευθεροῦσθαί τε αὐτὰς καὶ εἰς τὰ τείχη δέχεσθαι καὶ συμμάχους γίγνεσθαι. Οἱ μὲν οὖν Νεανδρεῖς καὶ Ἰλιεῖς καὶ Κοκυλῖται ἐπείθοντο· καὶ γὰρ οἱ φρουροῦντες Ἕλληνες ἐν αὐταῖς, ἐπεὶ ἡ Μανία ἀπέθανεν, οὐ πάνυ τι καλῶς περιείποντο. Ὁ δ' ἐν Κεβρῆνι, μάλα ἰσχυρῷ χωρίῳ, τὴν φυλακὴν ἔχων, νομίσας, εἰ διαφυλάξειε Φαρναβάζῳ τὴν πόλιν, τιμηθῆναι ἂν ὑπ' ἐκείνου, οὐκ ἐδέχετο τὸν Δερκυλίδαν· ὁ δὲ ὀργιζόμενος παρεσκευάζετο προσβάλλειν. Ἐπεὶ δὲ θυομένῳ αὐτῷ οὐκ ἐγίγνετο τὰ ἱερὰ τῇ πρώτῃ, τῇ ὑστεραίᾳ πάλιν ἐθύετο. Ὡς δὲ οὐδὲ ταῦτα ἐκαλλιερεῖτο, πάλιν τῇ τρίτῃ καὶ μέχρι τεττάρων ἡμερῶν ἐκαρτέρει θυόμενος, μάλα χαλεπῶς φέρων· ἔσπευδε γάρ, πρὶν Φαρνάβαζον βοηθῆσαι, ἐγκρατὴς γενέσθαι πάσης τῆς Αἰολίδος.

§ 18 - 19 Ἀθηνάδας δέ τις Σικυώνιος λοχαγός, νομίσας τὸν μὲν Δερκυλίδαν φλυαρεῖν διατρίβοντα, αὐτὸς δὲ ἱκανὸς εἶναι τὸ ὕδωρ ἀφελέσθαι τοὺς Κεβρηνίους, προσδραμὼν σὺν τῇ ἑαυτοῦ τάξει ἐπειρᾶτο τὴν κρήνην συγχοῦν. Οἱ δὲ ἔνδοθεν ἐπεξελθόντες αὐτόν τε συνέτρωσαν καὶ δύο ἀπέκτειναν, καὶ τοὺς ἄλλους παίοντες καὶ βάλλοντες ἀπήλασαν. Ἀχθομένου δὲ τοῦ Δερκυλίδου καὶ νομίζοντος ἀθυμοτέρους κατὰ τὴν προσβολὴν ἔσεσθαι, ἔρχονται ἐκ τοῦ τείχους παρὰ τῶν Ἑλλήνων κήρυκες καὶ εἶπον, ὅτι, ἃ μὲν ὁ ἄρχων ποιοίη, οὐκ ἀρέσκοι σφίσιν, αὐτοὶ δὲ βούλοιντο σὺν τοῖς Ἕλλησι μᾶλλον ἢ σὺν τῷ βαρβάρῳ εἶναι. Ἔτι δὲ διαλεγομένων αὐτῶν ταῦτα, παρὰ τοῦ ἄρχοντος αὐτῶν ἧκε λέγων, ὅτι, ὅσα λέγοιεν οἱ πρόσθεν, καὶ αὐτῷ δοκοῦντα λέγοιεν. Ὁ οὖν Δερκυλίδας εὐθύς, ὥσπερ ἔτυχε κεκαλλιερηκὼς ταύτῃ τῇ ἡμέρᾳ, ἀναλαβὼν τὰ ὅπλα ἡγεῖτο πρὸς τὰς πύλας· οἱ δ' ἀναπετάσαντες ἐδέξαντο. Καταστήσας δὲ καὶ ἐνταῦθα φρουροὺς εὐθὺς ᾔει ἐπὶ τὴν Σκῆψιν καὶ τὴν Γέργιθα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ δὲ Μειδίας προσδοκῶν μὲν τὸν Φαρνάβαζον, ὀκνῶν δ' ἤδη τοὺς πολίτας, πέμψας πρὸς τὸν Δερκυλίδαν εἶπεν, ὅτι ἔλθοι ἂν εἰς λόγους, εἰ ὁμήρους λάβοι. Ὁ δὲ πέμψας αὐτῷ ἀπὸ πόλεως ἑκάστης τῶν συμμάχων ἕνα ἐκέλευσε λαβεῖν τούτων, ὁπόσους τε καὶ ὁποίους βούλοιτο. Ὁ δὲ λαβὼν δέκα ἐξῆλθε, καὶ συμμείξας τῷ Δερκυλίδᾳ ἠρώτα, ἐπὶ τίσιν ἂν σύμμαχος γένοιτο. Ὁ δ' ἀπεκρίνατο ἐφ' ᾧ τε τοὺς πολίτας ἐλευθέρους τε καὶ αὐτονόμους ἐᾶν. Καὶ ἅμα ταῦτα λέγων ᾔει πρὸς τὴν Σκῆψιν. Γνοὺς δὲ ὁ Μειδίας, ὅτι οὐκ ἂν δύναιτο κωλύειν βίᾳ τῶν πολιτῶν, εἴασεν αὐτὸν εἰσιέναι. Ὁ δὲ Δερκυλίδας θύσας τῇ Ἀθηνᾷ ἐν τῇ Σκηψίων ἀκροπόλει τοὺς μὲν τοῦ Μειδίου φρουροὺς ἐξήγαγε, παραδοὺς δὲ τοῖς πολίταις τὴν πόλιν καὶ παρακελευσάμενος, ὥσπερ Ἕλληνας καὶ ἐλευθέρους χρή, οὕτω πολιτεύειν, ἐξελθὼν ἡγεῖτο ἐπὶ τὴν Γέργιθα. Συμπρούπεμπον δὲ πολλοὶ αὐτὸν καὶ τῶν Σκηψίων τιμῶντές τε καὶ ἡδόμενοι τοῖς πεπραγμένοις. § 20 - 21

Ὁ δὲ Μειδίας παρεπόμενος αὐτῷ ἠξίου τὴν τῶν Γεργιθίων πόλιν παραδοῦναι αὐτῷ. Καὶ ὁ Δερκυλίδας μέντοι ἔλεγεν, ὡς τῶν δικαίων οὐδενὸς ἀτυχήσοι· ἅμα δὲ ταῦτα λέγων ᾔει πρὸς τὰς πύλας σὺν τῷ Μειδίᾳ, καὶ τὸ στράτευμα ἠκολούθει αὐτῷ εἰρηνικῶς εἰς δύο. Οἱ δ' ἀπὸ τῶν πύργων καὶ μάλα ὑψηλῶν ὄντων ὁρῶντες τὸν Μειδίαν σὺν αὐτῷ οὐκ ἔβαλλον· εἰπόντος δὲ τοῦ Δερκυλίδου « Κέλευσον, ὦ Μειδία, ἀνοῖξαι τὰς πύλας, ἵνα ἡγῇ μὲν σύ, ἐγὼ δὲ σὺν σοὶ εἰς τὸ ἱερὸν ἔλθω κἀνταῦθα θύσω τῇ Ἀθηνᾷ », ὁ Μειδίας ὤκνει μὲν ἀνοίγειν τὰς πύλας, φοβούμενος δέ, μὴ παραχρῆμα συλληφθῇ, ἐκέλευσεν ἀνοῖξαι. § 22

Ὁ δ' ἐπεὶ εἰσῆλθεν, ἔχων αὖ τὸν Μειδίαν ἐπορεύετο πρὸς τὴν ἀκρόπολιν. Καὶ τοὺς μὲν ἄλλους στρατιώτας ἐκέλευε θέσθαι περὶ τὰ τείχη τὰ ὅπλα, αὐτὸς δὲ σὺν τοῖς περὶ αὐτὸν ἔθυε τῇ Ἀθηνᾷ. Ἐπεὶ δ' ἐτέθυτο, ἀνεῖπε καὶ τοὺς Μειδίου § 23 - 24

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δορυφόρους θέσθαι τὰ ὅπλα ἐπὶ τῷ στόματι τοῦ ἑαυτοῦ στρατεύματος ὡς μισθοφορήσοντας. Μειδίᾳ γὰρ οὐδὲν ἔτι δεινὸν εἶναι. Ὁ μέντοι Μειδίας ἀπορῶν, ὅ,τι ποιοίη, εἶπεν· « Ἐγὼ μὲν τοίνυν ἄπειμι », ἔφη, « ξένιά σοι παρασκευάσων ». Ὁ δὲ « Οὐ μὰ Δί' », ἔφη, « ἐπεὶ αἰσχρὸν ἐμὲ τεθυκότα ξενίζεσθαι ὑπὸ σοῦ, ἀλλὰ μὴ ξενίζειν σέ. Μένε οὖν παρ' ἡμῖν· ἐν ᾧ δ' ἂν τὸ δεῖπνον παρασκευάζηται, ἐγὼ καὶ σὺ τὰ δίκαια πρὸς ἀλλήλους καὶ διασκεψόμεθα καὶ ποιήσομεν ».

§ 25 - 26 Ἐπεὶ δ' ἐκαθέζοντο, ἠρώτα ὁ Δερκυλίδας· « Εἰπέ μοι, ὦ Μειδία, ὁ πατήρ σε ἄρχοντα τοῦ οἴκου κατέλιπε ; » « Μάλιστα », ἔφη. « Καὶ πόσαι σοι οἰκίαι ἦσαν; πόσοι δὲ χῶροι; πόσαι δὲ νομαί ;» Ἀπογράφοντος δ' αὐτοῦ οἱ παρόντες τῶν Σκηψίων εἶπον· « Ψεύδεταί σε οὗτος, ὦ Δερκυλίδα ». « Ὑμεῖς δέ γ' », ἔφη, « μὴ λίαν μικρολογεῖσθε ». Ἐπειδὴ δὲ ἀπεγέγραπτο τὰ πατρῷα, «Εἰπέ μοι», ἔφη, «Μανία δὲ τίνος ἦν; » οἱ δὲ πάντες εἶπον, ὅτι Φαρναβάζου. « Οὐκοῦν καὶ τὰ ἐκείνης », ἔφη, « Φαρναβάζου; » « Μάλιστα », ἔφασαν. « Ἡμετερ' ἂν εἴη », ἔφη, « ἐπεὶ κρατοῦμεν· πολέμιος γὰρ ἡμῖν Φαρνάβαζος· ἀλλ' ἡγείσθω τις», ἔφη, «ὅπου κεῖται τὰ Μανίας καὶ Φαρναβάζου».

§ 27 - 28 Ἡγουμένων δὲ τῶν ἄλλων ἐπὶ τὴν Μανίας οἴκησιν, ἣν παρειλήφει ὁ Μειδίας, ἠκολούθει κἀκεῖνος· ἐπεὶ δ' εἰσῆλθεν, ἐκάλει ὁ Δερκυλίδας τοὺς ταμίας, φράσας δὲ τοῖς ὑπηρέταις λαβεῖν αὐτοὺς προεῖπεν αὐτοῖς, ὡς, εἴ τι κλέπτοντες ἁλώσοιντο τῶν Μανίας, παραχρῆμα ἀποσφαγήσοιντο, οἱ δ' ἐδείκνυσαν. Ὁ δ' ἐπεὶ εἶδε πάντα, κατέκλησεν αὐτὰ καὶ κατεσημήνατο καὶ φύλακας κατέστησεν. Ἐξιὼν δέ, οὓς ηὗρεν ἐπὶ ταῖς θύραις τῶν ταξιάρχων καὶ λοχαγῶν, εἶπεν αὐτοῖς· « Μισθὸς μὲν ἡμῖν, ὦ ἄνδρες, εἴργασται τῇ στρατιᾷ ἐγγὺς ἐνιαυτοῦ ὀκτακισχιλίοις ἀνδράσιν· ἂν δέ τι προσεργασώμεθα, καὶ ταῦτα προσέσται ». Ταῦτα δ' εἶπε γιγνώσκων, ὅτι ἀκούσαντες πολὺ εὐτακτότεροι καὶ θεραπευτικώτεροι ἔσονται. Ἐρομένου δὲ τοῦ Μειδίου «Ἐ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲ δὲ ποῦ χρὴ οἰκεῖν, ὦ Δερκυλίδα; » ἀπεκρίνατο· « Ἔνθαπερ καὶ δικαιότατον, ὦ Μειδία, ἐν τῇ πατρίδι τῇ σαυτοῦ Σκήψει καὶ ἐν τῇ πατρῴᾳ οἰκίᾳ ».

Ὁ μὲν δὴ Δερκυλίδας ταῦτα διαπραξάμενος καὶ λαβὼν ἐν **2** § 1 - 2
ὀκτὼ ἡμέραις ἐννέα πόλεις ἐβουλεύετο, ὅπως ἂν μὴ τῇ φιλίᾳ χειμάζων βαρὺς εἴη τοῖς συμμάχοις, ὥσπερ Θίβρων, μηδ' αὖ Φαρνάβαζος καταφρονῶν τῇ ἵππῳ κακουργῇ τὰς Ἑλληνίδας πόλεις. Πέμπει οὖν πρὸς αὐτὸν καὶ ἐρωτᾷ, πότερον βούλεται εἰρήνην ἢ πόλεμον ἔχειν. Ὁ μέντοι Φαρνάβαζος νομίσας τὴν Αἰολίδα ἐπιτετειχίσθαι τῇ ἑαυτοῦ οἰκήσει Φρυγίᾳ, σπονδὰς εἵλετο. Ὡς δὲ ταῦτα ἐγένετο, ἐλθὼν ὁ Δερκυλίδας εἰς τὴν Βιθυνίδα Θρᾴκην ἐκεῖ διεχείμαζεν, οὐδὲ τοῦ Φαρναβάζου πάνυ τι ἀχθομένου· πολλάκις γὰρ οἱ Βιθυνοὶ αὐτῷ ἐπολέμουν.

### 9. Ἡ περαιτέρω δρᾶσις τοῦ Δερκυλίδου εἰς τὴν Θρᾳκικὴν Χερσόνησον καὶ τὴν Μ. Ἀσίαν.

( **2**, 6 - 20 )

Ἅμα δὲ τῷ ἦρι ἀποπορευόμενος ὁ Δερκυλίδας ἐκ τῶν Βι- § 6 - 7
θυνῶν ἀφικνεῖται εἰς Λάμψακον. Ἐνταῦθα δ' ὄντος αὐτοῦ ἔρχονται ἀπὸ τῶν οἴκοι τελῶν Ἄρακός τε καὶ Ναυβάτης καὶ Ἀντισθένης. Οὗτοι δ' ἦλθον ἐπισκεψόμενοι τά τε ἄλλα, ὅπως ἔχοι τὰ ἐν τῇ Ἀσίᾳ, καὶ Δερκυλίδᾳ ἐροῦντες μένοντι ἄρχειν καὶ τὸν ἐπιόντα ἐνιαυτόν. Καὶ ἐπιστεῖλαι δὲ σφίσιν αὐτοῖς τοὺς ἐφόρους συγκαλέσαντας τοὺς στρατιώτας εἰπεῖν, ὡς, ὧν μὲν πρόσθεν ἐποίουν, μέμφοιντο αὐτοῖς, ὅτι δὲ νῦν οὐδὲν ἠδίκουν, ἐπαινοῖεν· καὶ περὶ τοῦ λοιποῦ χρόνου εἰπεῖν, ὅτι, ἂν μὲν ἀδικῶσιν, οὐκ ἐπιτρέψουσιν, ἂν δὲ δίκαια περὶ τοὺς συμμάχους ποιῶσιν, ἐπαινέσονται αὐτούς. Ἐπεὶ μέντοι συγκαλέσαντες τοὺς στρατιώτας ταῦτ' ἔλεγον, ὁ τῶν Κυρείων προεστηκὼς ἀπεκρίνατο· « Ἀλλ' ὦ ἄνδρες Λακεδαιμόνιοι, ἡμεῖς μέν ἐσμεν οἱ αὐτοὶ νῦν τε καὶ πέρυσιν· ἄρχων δὲ ἄλλος μὲν νῦν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄλλος δὲ τὸ παρελθόν. Τὸ οὖν αἴτιον τοῦ νῦν μὲν μὴ ἐξαμαρτάνειν, τότε δέ, αὐτοὶ ἤδη ἱκανοί ἐστε γιγνώσκειν ».

§ 8 Συσκηνούντων δὲ τῶν τε οἴκοθεν πρέσβεων καὶ τοῦ Δερκυλίδου ἐπεμνήσθη τις τῶν περὶ τὸν Ἄρακον, ὅτι καταλελοίποιεν πρέσβεις τῶν Χερρονησιτῶν ἐν Λακεδαίμονι. Τούτους δὲ λέγειν ἔφασαν, ὡς νῦν μὲν οὐ δύναιντο τὴν Χερρόνησον ἐργάζεσθαι· φέρεσθαι γὰρ καὶ ἄγεσθαι ὑπὸ τῶν Θρᾳκῶν. Εἰ δ' ἀποτειχισθείη ἀπὸ θαλάττης εἰς θάλατταν, καὶ σφίσιν ἂν γῆν πολλὴν καὶ ἀγαθὴν εἶναι ἐργάζεσθαι καὶ ἄλλοις ὁπόσοι βούλοιντο Λακεδαιμονίων. Ὥστ' ἔφασαν οὐκ ἂν θαυμάζειν, εἰ καὶ πεμφθείη τις Λακεδαιμονίων ἀπὸ τῆς πόλεως σὺν δυνάμει ταῦτα πράξων. Ὁ οὖν Δερκυλίδας πρὸς μὲν ἐκείνους οὐκ εἶπεν, ἣν ἔχοι γνώμην, ταῦτ' ἀκούσας, ἀλλ' ἔπεμψεν αὐτοὺς ἐπ' Ἐφέσου διὰ τῶν Ἑλληνίδων πόλεων, ἡδόμενος, ὅτι ἔμελλον ὄψεσθαι τὰς πόλεις ἐν εἰρήνῃ εὐδαιμονικῶς διαγούσας. Οἱ μὲν δὴ ἐπορεύοντο.

§ 9 Ὁ δὲ Δερκυλίδας ἐπειδὴ ἔγνω μενετέον ὄν, πάλιν πέμψας πρὸς τὸν Φαρνάβαζον ἐπήρετο, πότερα βούλοιτο σπονδὰς ἔχειν καθάπερ διὰ τοῦ χειμῶνος ἢ πόλεμον. Ἑλομένου δὲ τοῦ Φαρναβάζου καὶ τότε σπονδάς, οὕτω καταλιπὼν καὶ τὰς περὶ ἐκεῖνον πόλεις φιλίας ἐν εἰρήνῃ διαβαίνει τὸν Ἑλλήσποντον σὺν τῷ στρατεύματι εἰς τὴν Εὐρώπην καὶ διὰ φιλίας τῆς Θρᾴκης πορευθεὶς καὶ ξενισθεὶς ὑπὸ Σεύθου ἀφικνεῖται εἰς Χερρόνησον.

§ 10 Ἣν καταμαθὼν πόλεις μὲν ἕνδεκα ἔχουσαν, χώραν δὲ παμφορωτάτην καὶ ἀρίστην οὖσαν, κεκακωμένην δέ, ὥσπερ ἐλέγετο, ὑπὸ τῶν Θρᾳκῶν, ἐπεὶ μέτρον ηὗρε τοῦ ἰσθμοῦ ἑπτὰ καὶ τριάκοντα στάδια, οὐκ ἐμέλλησεν, ἀλλὰ θυσάμενος ἐτείχιζε, κατὰ μέρη διελὼν τοῖς στρατιώταις τὸ χωρίον, καὶ ἆθλα αὐτοῖς ὑποσχόμενος δώσειν τοῖς πρώτοις ἐκτειχίσασι καὶ τοῖς ἄλλοις, ὡς ἕκαστοι ἄξιοι εἶεν, ἀπετέλεσε τὸ τεῖχος ἀρξάμενος ἀπὸ ἠρινοῦ χρόνου πρὸ ὀπώρας. Καὶ ἐποίησεν ἐντὸς τοῦ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τείχους ἕνδεκα μὲν πόλεις, πολλοὺς δὲ λιμένας, πολλὴν δὲ κἀγαθὴν σπόριμον, πολλὴν δὲ πεφυτευμένην, παμπληθεῖς δὲ καὶ παγκάλας νομὰς παντοδαποῖς κτήνεσι. Ταῦτα δὲ πράξας διέβαινε πάλιν εἰς τὴν Ἀσίαν.

Ἐπισκοπῶν δὲ τὰς πόλεις ἑώρα τὰ μὲν ἄλλα καλῶς ἐχούσας, Χίων δὲ φυγάδας εὗρεν Ἀταρνέα ἔχοντας, χωρίον ἰσχυρόν, καὶ ἐκ τούτου ὁρμωμένους φέροντας καὶ ἄγοντας τὴν Ἰωνίαν καὶ ζῶντας ἐκ τούτου. Πυθόμενος δέ, ὅτι πολὺς σῖτος ἐνῆν αὐτοῖς, περιστρατοπεδευσάμενος ἐπολιόρκει καὶ ἐν ὀκτὼ μησὶ παραστησάμενος αὐτούς, καταστήσας ἐν αὐτῷ Δράκοντα Πελληνέα ἐπιμελητήν, κατασκευάσας ἐν τῷ χωρίῳ ἔκπλεω πάντα τὰ ἐπιτήδεια, ἵνα εἴη αὐτῷ καταγωγή, ὁπότε ἀφικνοῖτο, ἀπῆλθεν εἰς Ἔφεσον, ἣ ἀπέχει ἀπὸ Σάρδεων ὀκτὼ ἡμερῶν ὁδόν. § 11

Καὶ μέχρι τούτου τοῦ χρόνου ἐν εἰρήνῃ διῆγον Τισσαφέρνης τε καὶ Δερκυλίδας καὶ οἱ ταύτῃ Ἕλληνες καὶ βάρβαροι. Ἐπεὶ δὲ ἀφικνούμενοι πρέσβεις εἰς Λακεδαίμονα ἀπὸ τῶν Ἰωνίδων πόλεων ἐδίδασκον, ὅτι εἴη ἐπὶ Τισσαφέρνει, εἰ βούλοιτο, ἀφιέναι αὐτονόμους τὰς Ἑλληνίδας πόλεις· εἰ οὖν κακῶς πάσχοι Καρία, ἔνθαπερ ὁ Τισσαφέρνους οἶκος, οὕτως ἂν ἔφασαν τάχιστα νομίζειν αὐτὸν αὐτονόμους σφᾶς ἀφεῖναι· ἀκούσαντες ταῦτα οἱ ἔφοροι ἔπεμψαν πρὸς Δερκυλίδαν καὶ ἐκέλευον αὐτὸν διαβαίνειν σὺν τῷ στρατεύματι ἐπὶ Καρίαν καὶ Φάρακα τὸν ναύαρχον σὺν ταῖς ναυσὶ παραπλεῖν. Οἱ μὲν δὴ ταῦτα ἐποίουν. § 12

Ἐτύγχανε δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ Φαρνάβαζος § 13 - 14
πρὸς Τισσαφέρνην ἀφιγμένος, ἅμα μὲν ὅτι στρατηγὸς τῶν πάντων ἀπεδέδεικτο Τισσαφέρνης, ἅμα δὲ διαμαρτυρούμενος, ὅτι ἕτοιμος εἴη κοινῇ πολεμεῖν καὶ συμμάχεσθαι καὶ συνεκβάλλειν τοὺς Ἕλληνας ἐκ τῆς βασιλέως. Ὁ δ' ἀκούων « Πρῶτον μὲν τοίνυν », ἔφη, « διάβηθι σὺν ἐμοὶ ἐπὶ Καρίαν, ἔπειτα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ καὶ περὶ τούτων βουλευσόμεθα ». Ἐπεὶ δ' ἐκεῖ ἦσαν, ἔδοξεν αὐτοῖς ἱκανὰς φυλακὰς εἰς τὰ ἐρύματα καταστήσαντας διαβαίνειν πάλιν ἐπὶ τὴν Ἰωνίαν· ὡς δ' ἤκουσεν ὁ Δερκυλίδας, ὅτι πάλιν πεπερακότες εἰσὶ τὸν Μαίανδρον, εἰπὼν τῷ Φάρακι, ὡς ὀκνοίη, μὴ ὁ Τισσαφέρνης καὶ ὁ Φαρνάβαζος ἐρήμην οὖσαν καταθέοντες φέρωσι καὶ ἄγωσι τὴν χώραν, διέβαινε καὶ αὐτός.

§ 15 Πορευόμενοι δὲ οὗτοι οὐδέν τι συντεταγμένῳ τῷ στρατεύματι ὡς προεληλυθότων τῶν πολεμίων εἰς τὴν Ἐφεσίαν, ἐξαίφνης ὁρῶσιν ἐκ τοῦ ἀντιπέραν σκοποὺς ἐπὶ τῶν μνημάτων· καὶ ἀνταναβιβάσαντες εἰς τὰ παρ' ἑαυτοῖς μνημεῖα καὶ τύρσεις τινὰς καθορῶσι παρατεταγμένους, ᾗ αὐτοῖς ἦν ἡ ὁδός, Κᾶράς τε λευκάσπιδας καὶ τὸ Περσικόν, ὅσον ἐτύγχανε παρόν, στράτευμα καὶ τὸ Ἑλληνικόν, ὅσον εἶχεν ἑκάτερος αὐτῶν, καὶ τὸ ἱππικὸν μάλα πολύ, τὸ μὲν Τισσαφέρνους ἐπὶ τῷ δεξιῷ κέρατι, τῷ δὲ Φαρναβάζου ἐπὶ τῷ εὐωνύμῳ.

§ 16 - 17 Ὡς δὲ ταῦτα ᾔσθετο ὁ Δερκυλίδας, τοῖς μὲν ταξιάρχοις καὶ τοῖς λοχαγοῖς εἶπε παρατάττεσθαι τὴν ταχίστην εἰς ὀκτώ, τοὺς δὲ πελταστὰς ἐπὶ τὰ κράσπεδα ἑκατέρωθεν καθίστασθαι καὶ τοὺς ἱππέας, ὅσους γε δὴ καὶ οἵους ἐτύγχανεν ἔχων· αὐτὸς δὲ ἐθύετο. Ὅσον μὲν δὴ ἦν ἐκ Πελοποννήσου στράτευμα, ἡσυχίαν εἶχε καὶ παρεσκευάζετο ὡς μαχούμενον· ὅσοι δὲ ἦσαν ἀπὸ Πριήνης τε καὶ Ἀχιλλείου καὶ ἀπὸ νήσων καὶ τῶν Ἰωνικῶν πόλεων, οἱ μέν τινες καταλιπόντες ἐν τῷ σίτῳ τὰ ὅπλα ἀπεδίδρασκον· καὶ γὰρ ἦν βαθὺς ὁ σῖτος ἐν τῷ Μαιάνδρου πεδίῳ· ὅσοι δὲ καὶ ἔμενον, δῆλοι ἦσαν οὐ μενοῦντες.

§ 18 Τὸν μὲν οὖν Φαρνάβαζον ἐξηγγέλλετο μάχεσθαι κελεύειν. Ὁ μέντοι Τισσαφέρνης τό τε Κύρειον στράτευμα καταλογιζόμενος ὡς ἐπολέμησεν αὐτοῖς, καὶ τούτῳ πάντας νομίζων ὁμοίους εἶναι τοὺς Ἕλληνας, οὐκ ἐβούλετο μάχεσθαι, ἀλλὰ πέμψας πρὸς Δερκυλίδαν, εἶπεν, ὅτι εἰς λόγους βούλοιτο αὐ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῷ ἀφικέσθαι. Καὶ ὁ Δερκυλίδας λαβὼν τοὺς κρατίστους τὰ εἴδη τῶν περὶ αὐτὸν καὶ ἱππέων καὶ πεζῶν προῆλθε πρὸς τοὺς ἀγγέλους καὶ εἶπεν· «Ἀλλὰ παρεσκευασάμην μὲν ἔγωγε μάχεσθαι, ὡς ὁρᾶτε. Ἐπεὶ μέντοι ἐκεῖνος βούλεται εἰς λόγους ἀφικέσθαι, οὐδ' ἐγὼ ἀντιλέγω. Ἂν μέντοι ταῦτα δέῃ ποιεῖν, πιστὰ καὶ ὁμήρους δοτέον καὶ ληπτέον».

Δόξαντα δὲ ταῦτα καὶ περανθέντα τὰ μὲν στρατεύματα § 19 - 20
ἀπῆλθε, τὸ μὲν βαρβαρικὸν εἰς Τράλλεις τῆς Καρίας, τὸ δ' Ἑλληνικὸν εἰς Λεύκοφρυν. Καὶ τότε μὲν ταῦτα ἐπράχθη· τῇ δ' ὑστεραίᾳ εἰς τὸ συγκείμενον χωρίον ἦλθον, καὶ ἔδοξεν αὐτοῖς πυθέσθαι ἀλλήλων, ἐπὶ τίσιν ἂν τὴν εἰρήνην ποιήσαιντο. Ὁ μὲν δὴ Δερκυλίδας εἶπεν, εἰ αὐτονόμους ἐῴη βασιλεὺς τὰς Ἑλληνίδας πόλεις, ὁ δὲ Τισσαφέρνης καὶ Φαρνάβαζος εἶπαν, ὅτι, εἰ ἐξέλθοι τὸ Ἑλληνικὸν στράτευμα ἐκ τῆς χώρας καὶ οἱ Λακεδαιμονίων ἁρμοσταὶ ἐκ τῶν πόλεων. Ταῦτα δὲ εἰπόντες ἀλλήλοις σπονδὰς ἐποιήσαντο, ἕως ἀπαγγελθείη τὰ λεχθέντα Δερκυλίδᾳ μὲν εἰς Λακεδαίμονα, Τισσαφέρνει δὲ ἐπὶ βασιλέα.

### 10. Ὁ Ἀγησίλαος εἰς Μ. Ἀσίαν. Σπονδαὶ μετὰ τοῦ Τισσαφέρνους.

( 4, 1 - 10 )

Μετὰ δὲ ταῦτα Ἡρώδας τις Συρακόσιος ἐν Φοινίκῃ ὢν § 1
μετὰ ναυκλήρου τινὸς καὶ ἰδὼν τριήρεις Φοινίσσας τὰς μὲν καταπλεούσας ἄλλοθεν, τὰς δὲ καὶ αὐτοῦ πεπληρωμένας, τὰς δὲ καὶ ἔτι κατασκευαζομένας, προσακούσας δὲ καὶ τοῦτο, ὅτι τριακοσίας αὐτὰς δέοι γενέσθαι, ἐπιβὰς ἐπὶ τὸ πρῶτον ἀναγόμενον πλοῖον εἰς τὴν Ἑλλάδα ἐξήγγειλε τοῖς Λακεδαιμονίοις ὡς βασιλέως καὶ Τισσαφέρνους τὸν στόλον τοῦτον παρασκευαζομένων· ὅποι δέ, οὐδὲν ἔφη εἰδέναι.

Ἀνεπτερωμένων δὲ τῶν Λακεδαιμονίων καὶ τοὺς συμ- § 2
μάχους συναγόντων καὶ βουλευομένων, τί χρὴ ποιεῖν, Λύσαν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δρος νομίζων καὶ τῷ ναυτικῷ πολὺ περιέσεσθαι τοὺς Ἕλληνας καὶ τὸ πεζὸν λογιζόμενος ὡς ἐσώθη τὸ μετὰ Κύρου ἀναβάν, πείθει τὸν Ἀγησίλαον ὑποστῆναι, ἂν αὐτῷ δῶσι τριάκοντα μὲν Σπαρτιατῶν, εἰς δισχιλίους δὲ τῶν νεοδαμώδων, ἑξακισχιλίους δὲ τὸ σύνταγμα τῶν συμμάχων, στρατεύεσθαι εἰς τὴν Ἀσίαν. Πρὸς δὲ τούτῳ λογισμῷ καὶ αὐτὸς συνεξελθεῖν αὐτῷ ἐβούλετο, ὅπως τὰς δεκαρχίας τὰς κατασταθείσας ὑπ' ἐκείνου ἐν ταῖς πόλεσιν, ἐκπεπτωκυίας δὲ διὰ τοὺς ἐφόρους, οἳ τὰς πατρίους πολιτείας παρήγγειλαν, πάλιν καταστήσειε μετ' Ἀγησιλάου.

§ 3 - 4 Ἐπαγγειλαμένου δὲ τοῦ Ἀγησιλάου τὴν στρατείαν, διδόασί τε οἱ Λακεδαιμόνιοι, ὅσαπερ ᾔτησε, καὶ ἑξαμήνου σῖτον. Ἐπεὶ δέ, θυσάμενος ὅσα ἔδει, καὶ τἆλλα καὶ τὰ διαβατήρια, ἐξῆλθε, ταῖς μὲν πόλεσι διαπέμψας ἀγγέλους προεῖπεν, ὅσους τε δέοι ἑκασταχόθεν πέμπεσθαι καὶ ὅποι παρεῖναι, αὐτὸς δ' ἐβουλήθη ἐλθὼν θῦσαι ἐν Αὐλίδι, ἔνθαπερ ὁ Ἀγαμέμνων, ὅτ' εἰς Τροίαν ἔπλει, ἐθύετο. Ὡς δ' ἐκεῖ ἐγένετο, πυθόμενοι οἱ βοιώταρχοι, ὅτι θύοι, πέμψαντες ἱππέας τοῦ τε λοιποῦ εἶπαν μὴ θύειν καί, οἷς ἐνέτυχον ἱεροῖς τεθυμένοις, διέρριψαν ἀπὸ τοῦ βωμοῦ. Ὁ δ' ἐπιμαρτυρόμενος τοὺς θεοὺς καὶ ὀργιζόμενος, ἀναβὰς ἐπὶ τὴν τριήρη ἀπέπλει. Ἀφικόμενος δὲ ἐπὶ Γεραστὸν καὶ συλλέξας ἐκεῖ, ὅσον ἐδύνατο τοῦ στρατεύματος πλεῖστον, εἰς Ἔφεσον τὸν στόλον ἐποιεῖτο.

§ 5 Ἐπεὶ δὲ ἐκεῖσε ἀφίκετο, πρῶτον μὲν Τισσαφέρνης πέμψας ἤρετο αὐτόν, τίνος δεόμενος ἥκοι. Ὁ δ' εἶπεν αὐτονόμους καὶ τὰς ἐν Ἀσίᾳ πόλεις εἶναι, ὥσπερ καὶ τὰς ἐν τῇ παρ' ἡμῖν Ἑλλάδι. Πρὸς ταῦτ' εἶπεν ὁ Τισσαφέρνης· « Εἰ τοίνυν θέλεις σπείσασθαι, ἕως ἂν ἐγὼ πρὸς βασιλέα πέμψω, οἶμαι ἄν σε ταῦτα διαπραξάμενον ἀποπλεῖν, εἰ βούλοιο ». « Ἀλλὰ βουλοίμην ἄν », ἔφη, « εἰ μὴ οἰοίμην γε ὑπὸ σοῦ ἐξαπατᾶσθαι. Ἀλλ' ἔξεστιν », ἔφη, « σοὶ τούτων πίστιν λαβεῖν ἦ μὴν ἀδόλως σοῦ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πράττοντος ταῦτα μηδὲν τῆς σῆς ἀρχῆς ἀδικήσειν ἐν ταῖς σπονδαῖς ».

Ἐπὶ τούτοις ῥηθεῖσι Τισσαφέρνης ὤμοσε τοῖς πεμφθεῖσι § 6
πρὸς αὐτὸν Ἡριππίδᾳ καὶ Δερκυλίδᾳ καὶ Μεγίλλῳ ἦ μὴν πράξειν ἀδόλως τὴν εἰρήνην, ἐκεῖνοι δὲ ἀντώμοσαν ὑπὲρ Ἀγησιλάου Τισσαφέρνει ἦ μὴν ταῦτα πράττοντος αὐτοῦ ἐμπεδώσειν τὰς σπονδάς. Ὁ μὲν δὴ Τισσαφέρνης, ἃ ὤμοσεν, εὐθὺς ἐψεύσατο· ἀντὶ γὰρ τοῦ εἰρήνην ἔχειν στράτευμα πολὺ παρὰ βασιλέως, πρὸς ᾧ εἶχε πρόσθεν, μετεπέμπετο. Ἀγησίλαος δέ, καίπερ αἰσθανόμενος ταῦτα, ὅμως ἐνέμενε ταῖς σπονδαῖς.

Ὡς δὲ ἡσυχίαν τε καὶ σχολὴν ἔχων ὁ Ἀγησίλαος διέτριβε § 7
ἐν τῇ Ἐφέσῳ ἅτε συντεταραγμένων ἐν ταῖς πόλεσι τῶν πολιτειῶν καὶ οὔτε δημοκρατίας ἔτι οὔσης, ὥσπερ ἐπ' Ἀθηναίων, οὔτε δεκαρχίας, ὥσπερ ἐπὶ τοῦ Λυσάνδρου, ἅτε γιγνώσκοντες πάντες τὸν Λύσανδρον προσέκειντο αὐτῷ ἀξιοῦντες διαπράττεσθαι αὐτὸν παρ' Ἀγησιλάου, ὧν ἐδέοντο· καὶ διὰ ταῦτα ἀεὶ παμπληθὴς ὄχλος θεραπεύων αὐτὸν ἠκολούθει, ὥστε ὁ μὲν Ἀγησίλαος ἰδιώτης ἐφαίνετο, ὁ δὲ Λύσανδρος βασιλεύς.

Ὅτι μὲν οὖν ἔμηνε καὶ τὸν Ἀγησίλαον ταῦτα, ἐδήλω- § 8
σεν ὕστερον· οἵ γε μὴν ἄλλοι τριάκοντα ὑπὸ τοῦ φθόνου οὐκ ἐσίγων, ἀλλ' ἔλεγον πρὸς τὸν Ἀγησίλαον, ὡς παράνομα ποιοίη Λύσανδρος τῆς βασιλείας ὀγκηρότερον διάγων. Ἐπεὶ δὲ καὶ ἤρξατο προσάγειν τινὰς τῷ Ἀγησιλάῳ ὁ Λύσανδρος, πάντας οἷς γνοίη αὐτὸν συμπράττοντά τι, ἡττωμένους ἀπέπεμπεν. Ὡς δ' ἀεὶ τὰ ἐναντία, ὧν ἐβούλετο, ἀπέβαινε τῷ Λυσάνδρῳ, ἔγνω δὴ τὸ γιγνόμενον· καὶ οὔτε ἕπεσθαι ἑαυτῷ εἴα ὄχλον τοῖς τε συμπρᾶξαί τι δεομένοις σαφῶς ἔλεγεν, ὅτι ἔλαττον ἕξοιεν, εἰ αὐτὸς παρείη.

Βαρέως δὲ φέρων τῇ ἀτιμίᾳ προσελθὼν εἶπεν· « Ὦ Ἀγη- § 9
σίλαε, μειοῦν μὲν ἄρα σύ γε τοὺς φίλους ἠπίστω ». « Ναὶ μὰ Δί' », ἔφη, «τούς γε βουλομένους ἐμοῦ μείζους φαίνεσθαι· τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δέ γε αὔξοντας, εἰ μὴ ἐπισταίμην ἀντιτιμᾶν, αἰσχυνοίμην ἄν ». Καὶ ὁ Λύσανδρος εἶπεν· « Ἀλλ' ἴσως καὶ μᾶλλον εἰκότα σὺ ποιεῖς ἢ ἐγὼ ἔπραττον· τάδε οὖν μοι ἐκ τοῦ λοιποῦ χάρισαι· ὅπως ἂν μήτ' αἰσχύνωμαι ἀδυνατῶν παρὰ σοὶ μήτ' ἐμποδών σοι ὦ, ἀπόπεμψόν ποί με· ὅπου γὰρ ἂν ὦ, πειράσομαι ἐν καιρῷ σοι εἶναι ».

§ 10 Εἰπόντος δὲ ταῦτα ἔδοξε καὶ τῷ Ἀγησιλάῳ οὕτω ποιῆσαι, καὶ πέμπειν αὐτὸν ἐφ' Ἑλλησπόντου. Ἐκεῖ δὲ ὁ Λύσανδρος αἰσθόμενος Σπιθριδάτην τὸν Πέρσην ἐλαττούμενόν τι ὑπὸ Φαρναβάζου διαλέγεται αὐτῷ καὶ πείθει ἀποστῆναι ἔχοντα τούς τε παῖδας καὶ τὰ περὶ αὐτὸν χρήματα καὶ ἱππέας ὡς διακοσίους· καὶ τὰ μὲν ἄλλα κατέλιπεν ἐν Κυζίκῳ, αὐτὸν δὲ καὶ τὸν υἱὸν ἀναβιβασάμενος ἧκεν ἄγων πρὸς Ἀγησίλαον· ἰδὼν δὲ ὁ Ἀγησίλαος ἥσθη τε τῇ πράξει καὶ εὐθὺς ἀνεπυνθάνετο περὶ τῆς Φαρναβάζου χώρας τε καὶ ἀρχῆς.

### 11. Παρασπονδία τοῦ Τισσαφέρνους. Ἡ παρὰ τὸν Πακτωλὸν μάχη.

( **4**, 11 - 24 )

§ 11 Ἐπεὶ δὲ μέγα φρονήσας ὁ Τισσαφέρνης ἐπὶ τῷ καταβάντι στρατεύματι παρὰ βασιλέως προεῖπεν Ἀγησιλάῳ πόλεμον, εἰ μὴ ἀπίοι ἐκ τῆς Ἀσίας, οἱ μὲν ἄλλοι σύμμαχοι τῶν Λακεδαιμονίων οἱ παρόντες ἀχθεσθέντες φανεροὶ ἐγένοντο, νομίζοντες ἐλάττω τὴν παροῦσαν εἶναι δύναμιν Ἀγησιλάῳ τῆς βασιλέως παρασκευῆς· Ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγεῖλαι Τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευσεν, ὡς πολλὴν χάριν αὐτῷ ἔχοι, ὅτι ἐπιορκήσας αὐτὸς μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δ' Ἕλλησι συμμάχους ἐποίησεν. Ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις παρήγγειλε συσκευάζεσθαι ὡς εἰς στρατείαν, ταῖς δὲ πόλεσιν, εἰς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ Καρίαν, προεῖπεν ἀγορὰν παρα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σκευάζειν. Ἐπέστειλε δὲ καὶ Ἴωσι καὶ Αἰολεῦσι καὶ Ἑλλησποντίοις πέμπειν πρὸς ἑαυτὸν εἰς Ἔφεσον τοὺς συστρατευσομένους.

Ὁ Τισσαφέρνης, καὶ ὅτι ἱππικὸν οὐκ εἶχεν ὁ Ἀγησίλαος, ἡ δὲ Καρία ἄφιππος ἦν, καὶ ὅτι ἡγεῖτο αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας ἐπὶ τὸν αὐτοῦ οἶκον εἰς Καρίαν αὐτὸν ὁρμήσειν, τὸ μὲν πεζὸν ἅπαν διεβίβασεν ἐκεῖσε, τὸ δ' ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον περιῆγε, νομίζων ἱκανὸς εἶναι καταπατῆσαι τῇ ἵππῳ τοὺς Ἕλληνας, πρὶν εἰς τὰ δύσιππα ἀφικέσθαι. Ὁ δὲ Ἀγησίλαος ἀντὶ τοῦ ἐπὶ Καρίαν ἰέναι εὐθὺς τἀναντία ἀποστρέψας ἐπὶ Φρυγίας ἐπορεύετο, καὶ τάς τ' ἐν τῇ πορείᾳ πόλεις κατεστρέφετο καὶ ἐμβαλὼν ἀπροσδοκήτοις παμπληθῆ χρήματα ἐλάμβανεν.

Καὶ τὸν μὲν ἄλλον χρόνον ἀσφαλῶς διεπορεύετο. Οὐ πόρ- § 13 - 14
ρω δ' ὄντος Δασκυλείου προϊόντες αὐτοῦ οἱ ἱππεῖς ἤλαυνον ἐπὶ λόφον τινά, ὡς προΐδοιεν, τί τἄμπροσθεν εἴη· κατὰ τύχην δέ τινα καὶ οἱ τοῦ Φαρναβάζου ἱππεῖς ὄντες παρόμοιοι τοῖς Ἕλλησι τὸν ἀριθμόν, πεμφθέντες ὑπὸ Φαρναβάζου ἤλαυνον καὶ οὗτοι ἐπὶ τὸν αὐτὸν τοῦτον τὸν λόφον. Ἰδόντες δὲ ἀλλήλους οὐδὲ τέτταρα πλέθρα ἀπέχοντας, τὸ μὲν πρῶτον ἔστησαν ἀμφότεροι, οἱ μὲν Ἕλληνες ἱππεῖς ὥσπερ φάλαγξ ἐπὶ τεττάρων παρατεταγμένοι, οἱ δὲ βάρβαροι τοὺς πρώτους οὐ πλέον ἢ εἰς δώδεκα ποιήσαντες, τὸ βάθος δ' ἐπὶ πολλῶν. Ἔπειτα μέντοι πρόσθεν ὥρμησαν οἱ βάρβαροι. Ὡς δ' εἰς χεῖρας ἦλθον, ὅσοι μὲν τῶν Ἑλλήνων ἔπαισάν τινας, πάντες συνέτριψαν τὰ δόρατα, οἱ δὲ Πέρσαι κρανέϊνα παλτὰ ἔχοντες ταχὺ δώδεκα μὲν ἱππέας, δύο δὲ ἵππους ἀπέκτειναν. Ἐκ δὲ τούτου ἐτρέφθησαν οἱ Ἕλληνες ἱππεῖς. Βοηθήσαντος δὲ Ἀγησιλάου σὺν τοῖς ὁπλίταις, πάλιν ἀπεχώρουν οἱ βάρβαροι καὶ εἷς αὐτῶν ἀποθνῄσκει.

Γενομένης δὲ ταύτης τῆς ἱππομαχίας, θυομένῳ τῷ Ἀγη-
σιλάῳ τῇ ὑστεραίᾳ ἐπὶ προόδῳ ἄλοβα γίγνεται τὰ ἱερά. Τού- § 15



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

του μέντοι φανέντος στρέψας έπορεύετο έπὶ θάλατταν. Γιγνώσκων δέ, ὅτι ,εἰ μὴ ἱππικὸν ἱκανὸν κτήσαιτο, οὐ δυνήσοιτο κατὰ τὰ πεδία στρατεύεσθαι, ἔγνω τοῦτο κατασκευαστέον εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι. Καὶ τοὺς μὲν πλουσιωτάτους ἐκ πασῶν τῶν ἐκεῖ πόλεων ἱπποτροφεῖν κατέλεξε· προειπὼν δέ, ὅστις παρέχοιτο ἵππον καὶ ὅπλα καὶ ἄνδρα δόκιμον, ὅτι ἐξέσται αὐτῷ μὴ στρατεύεσθαι, ἐποίησεν οὕτω ταῦτα συντόμως πράττεσθαι, ὥσπερ ἄν τις τὸν ὑπὲρ αὐτοῦ ἀποθανούμενον προθύμως ζητοίη.

§ 16 - 17 'Εκ δὲ τούτου, ἐπειδὴ ἔαρ ὑπέφαινε, συνήγαγε μὲν ἅπαν τὸ στράτευμα εἰς Ἔφεσον, ἀσκῆσαι δ' αὐτὸ βουλόμενος ἆθλα προύθηκε ταῖς τε ὁπλιτικαῖς τάξεσιν, ἥτις ἄριστα σωμάτων ἔχοι, καὶ ταῖς ἱππικαῖς, ἥτις κράτιστα ἱππεύοι· καὶ πελτασταῖς δὲ καὶ τοξόταις ἆθλα προύθηκεν, ὅσοι κράτιστοι πρὸς τὰ προσήκοντα ἔργα φανεῖεν. 'Εκ τούτου δὲ παρῆν ὁρᾶν τὰ μὲν γυμνάσια πάντα μεστὰ ἀνδρῶν τῶν γυμναζομένων, τὸν δὲ ἱππόδρομον τῶν ἱππαζομένων, τοὺς δὲ ἀκοντιστὰς καὶ τοὺς τοξότας μελετῶντας. 'Αξίαν δὲ καὶ ὅλην τὴν πόλιν, ἐν ᾗ ἦν θέας ἐποίησεν· ἥ τε γὰρ ἀγορὰ ἦν μεστὴ παντοδαπῶν καὶ ἵππων καὶ ὅπλων ὠνίων, οἵ τε χαλκοτύποι καὶ οἱ τέκτονες καὶ οἱ χαλκεῖς καὶ οἱ σκυτοτόμοι καὶ οἱ ζωγράφοι πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον, ὥστε τὴν πόλιν ὄντως οἴεσθαι πολέμου ἐργαστήριον εἶναι.

§ 18 - 19 'Επερρώσθη δ' ἄν τις καὶ ἐκεῖνο ἰδών, 'Αγησίλαον μὲν πρῶτον, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστεφανωμένους ἀπὸ τῶν γυμνασίων ἀπιόντας καὶ ἀνατιθέντας τοὺς στεφάνους τῇ 'Αρτέμιδι. Ὅπου γὰρ ἄνδρες θεοὺς μὲν σέβοιντο, τὰ δὲ πολεμικὰ ἀσκοῖεν, πειθαρχεῖν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντα μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι ; Ἡγούμενος δὲ καὶ τὸ καταφρονεῖν τῶν πολεμίων ῥώμην τινὰ ἐμβάλλειν πρὸς τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι τοὺς ὑπὸ τῶν ληστῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἁλισκομένους βαρβάρους γυμνοὺς πωλεῖν. Ὁρῶντες οὖν οἱ στρατιῶται λευκοὺς μὲν διὰ τὸ μηδέποτε ἐκδύεσθαι, μαλακοὺς δὲ καὶ ἀπόνους διὰ τὸ ἀεὶ ἐπ' ὀχημάτων εἶναι, ἐνόμισαν οὐδὲν διοίσειν τὸν πόλεμον, ἢ εἰ γυναιξὶ δέοι μάχεσθαι.

Ἐν δὲ τούτῳ τῷ χρόνῳ καὶ ὁ ἐνιαυτὸς ἤδη, ἀφ' οὗ ἐξέπλευσεν ὁ Ἀγησίλαος, διεληλύθει, ὥστε οἱ μὲν περὶ Λύσανδρον τριάκοντα οἴκαδε ἀπέπλεον, διάδοχοι δ' αὐτοῖς οἱ περὶ Ἡρριπίδαν παρῆσαν. Τούτων Ξενοκλέα μὲν καὶ ἄλλον ἔταξεν ἐπὶ τοὺς ἱππέας, Σκύθην δὲ ἐπὶ τοὺς νεοδαμώδεις ὁπλίτας, Ἡριππίδαν δ' ἐπὶ τοὺς Κυρείους, Μύγδωνα δὲ ἐπὶ τοὺς ἀπὸ τῶν πόλεων στρατιώτας, καὶ προεῖπεν αὐτοῖς, ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως αὐτόθεν οὕτω τὰ σώματα καὶ τὴν γνώμην παρασκευάζοιντο ὡς ἀγωνιούμενοι. Ὁ μέντοι Τισσαφέρνης ταῦτα μὲν ἐνόμισε λέγειν αὐτὸν πάλιν βουλόμενον ἐξαπατῆσαι, εἰς Καρίαν δὲ νῦν τῷ ὄντι ἐμβαλεῖν, καὶ τό τε πεζὸν καθάπερ τὸ πρόσθεν εἰς Καρίαν διεβίβασε καὶ τὸ ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον κατέστησεν· ὁ δ' Ἀγησίλαος οὐκ ἐψεύσατο, ἀλλ' ὥσπερ προεῖπεν, εὐθὺς εἰς τὸν Σαρδιανὸν τόπον ἐνέβαλε. § 20 - 21

Καὶ τρεῖς μὲν ἡμέρας δι' ἐρημίας πολεμίων πορευόμενος πολλὰ τὰ ἐπιτήδεια τῇ στρατιᾷ εἶχε, τῇ δὲ τετάρτῃ ἧκον οἱ τῶν πολεμίων ἱππεῖς. Καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων εἶπεν ὁ ἡγεμὼν διαβάντι τὸν Πακτωλὸν ποταμὸν στρατοπεδεύεσθαι, αὐτοὶ δὲ κατιδόντες τοὺς τῶν Ἑλλήνων ἀκολούθους ἐσπαρμένους εἰς ἁρπαγὴν πολλοὺς αὐτῶν ἀπέκτειναν. Αἰσθόμενος δὲ Ἀγησίλαος βοηθεῖν ἐκέλευσε τοὺς ἱππέας. Οἱ δ' αὖ Πέρσαι ὡς εἶδον τὴν βοήθειαν, ἠθροίσθησαν καὶ ἀντιπαρετάξαντο παμπληθέσι τῶν ἱππέων τάξεσιν. Ἔνθα δὴ ὁ Ἀγησίλαος γιγνώσκων, ὅτι τοῖς μὲν πολεμίοις οὔπω παρείη τὸ πεζόν, αὐτῷ δὲ οὐδὲν ἀπείη τῶν παρεσκευασμένων, καιρὸν ἡγήσατο μάχην συνάψαι, εἰ δύναιτο. Σφαγιασάμενος οὖν τὴν § 22 - 23

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς παρατεταγμένους ἱππέας, ἐκ δὲ τῶν ὁπλιτῶν ἐκέλευσε τὰ δέκα ἀφ' ἥβης θεῖν ὁμόσε αὐτοῖς, τοῖς δὲ πελτασταῖς εἶπε δρόμῳ ὑφηγεῖσθαι. Παρήγγειλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβάλλειν, ὡς αὐτοῦ τε καὶ παντὸς τοῦ στρατεύματος ἑπομένου.

§ 24 Τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ Πέρσαι· ἐπεὶ δ' ἅμα πάντα τὰ δεινὰ παρῆν, ἐνέκλιναν, καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἔπεσον, οἱ δ' ἄλλοι ἔφευγον. Οἱ δ' Ἕλληνες ἐπακολουθοῦντες αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. Καὶ οἱ μὲν πελτασταί, ὥσπερ εἰκός, εἰς ἁρπαγὴν ἐτράποντο· ὁ δ' Ἀγησίλαος κύκλῳ πάντα καὶ φίλια καὶ πολέμια περιεστρατοπεδεύσατο. Καὶ ἄλλα τε πολλὰ χρήματα ἐλήφθη, ἃ ηὗρε πλέον ἢ ἑβδομήκοντα τάλαντα, καὶ αἱ κάμηλοι δὲ τότε ἐλήφθησαν, ἃς Ἀγησίλαος εἰς τὴν Ἑλλάδα ἀπήγαγεν.

### 12. Θανάτωσις τοῦ Τισσαφέρνους. Ἀνάθεσις εἰς τὸν Ἀγησίλαον καὶ τῆς κατὰ θάλασσαν ἀρχῆς.

( **4**, 25 - 29 )

§ 25 - 26 Ὅτε δ' αὕτη ἡ μάχη ἐγένετο, Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν· ὥστε ᾐτιῶντο οἱ Πέρσαι προδεδόσθαι ὑπ' αὐτοῦ. Γνοὺς δὲ καὶ αὐτὸς ὁ Περσῶν βασιλεὺς Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέρεσθαι τὰ ἑαυτοῦ, Τιθραύστην καταπέμψας ἀποτέμνει αὐτοῦ τὴν κεφαλήν. Τοῦτο δὲ ποιήσας ὁ Τιθραύστης πέμπει πρὸς τὸν Ἀγησίλαον πρέσβεις λέγοντας· «Ὦ Ἀγησίλαε, ὁ μὲν αἴτιος τῶν πραγμάτων καὶ ὑμῖν καὶ ἡμῖν ἔχει τὴν δίκην· βασιλεὺς δὲ ἀξιοῖ σὲ μὲν ἀποπλεῖν οἴκαδε, τὰς δ' ἐν τῇ Ἀσίᾳ πόλεις αὐτονόμους οὔσας τὸν ἀρχαῖον δασμὸν αὐτῷ ἀποφέρειν». Ἀποκριναμένου δὲ τοῦ Ἀγησιλάου, ὅτι οὐκ ἂν ποιήσειε ταῦτα ἄνευ τῶν οἴκοι τελῶν, «Σὺ δ' ἀλλά, ἕως ἂν πύθῃ τὰ παρὰ τῆς πόλεως, μεταχώρησον», ἔφη, «εἰς τὴν Φαρναβάζου, ἐπειδὴ καὶ ἐγὼ τὸν σὸν ἐχθρὸν τετιμώρημαι».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

« Ἕως ἂν τοίνυν », ἔφη ὁ Ἀγησίλαος, « ἐκεῖσε περεύωμαι, δίδου δὴ τῇ στρατιᾷ τὰ ἐπιτήδεια ». Ἐκείνῳ μὲν δὴ ὁ Τιθραύστης δίδωσι τριάκοντα τάλαντα· ὁ δὲ λαβὼν ᾔει ἐπὶ τὴν Φαρναβάζου Φρυγίαν.

Ὄντι δ' αὐτῷ ἐν τῷ πεδίῳ τῷ ὑπὲρ Κύμης ἔρχεται ἀπὸ τῶν οἴκοι τελῶν ἄρχειν καὶ τοῦ ναυτικοῦ, ὅπως γιγνώσκοι, καὶ καταστήσασθαι ναύαρχον ὅντινα αὐτὸς βούλοιτο. Τοῦτο δ' ἐποίησαν οἱ Λακεδαιμόνιοι τοιῷδε λογισμῷ, ὡς, εἰ ὁ αὐτὸς ἀμφοτέρων ἄρχοι, τό τε πεζὸν πολὺ ἂν ἰσχυρότερον εἶναι, καθ' ἓν οὔσης τῆς ἰσχύος ἀμφοτέροις, τό τε ναυτικόν, ἐπιφαινομένου τοῦ πεζοῦ, ἔνθα δέοι. Ἀκούσας δὲ ταῦτα ὁ Ἀγησίλαος πρῶτον μὲν ταῖς πόλεσι παρήγγειλε ταῖς ἐν ταῖς νήσοις καὶ ταῖς ἐπιθαλαττιδίοις τριήρεις ποιεῖσθαι, ὁπόσας ἑκάστη βούλοιτο τῶν πόλεων. Καὶ ἐγένοντο καιναί, ἐξ ὧν αἵ τε πόλεις ἐπηγγείλαντο καὶ οἱ ἰδιῶται ἐποιοῦντο χαρίζεσθαι βουλόμενοι, ὡς εἴκοσι καὶ ἑκατόν. Πείσανδρον δὲ τὸν τῆς γυναικὸς ἀδελφὸν ναύαρχον κατέστησε, φιλότιμον μὲν καὶ ἐρρωμένον τὴν ψυχήν, ἀπειρότερον δὲ τοῦ παρασκευάζεσθαι ὡς δεῖ. Καὶ Πείσανδρος μὲν ἀπελθὼν τὰ ναυτικὰ ἔπραττεν. Ὁ δ' Ἀγησίλαος, ὥσπερ ὥρμησεν, ἐπὶ τὴν Φρυγίαν ἐπορεύετο.

### 13. Συνασπισμὸς τῶν ἐν Ἑλλάδι πόλεων κατὰ τῶν Λακεδαιμονίων.

(**5**, 1 - 2)

Ὁ μέντοι Τιθραύστης, καταμαθεῖν δοκῶν τὸν Ἀγησί- § 1 - 2
λαον καταφρονοῦντα τῶν βασιλέως πραγμάτων καὶ οὐδαμῇ διανοούμενον ἀπιέναι ἐκ τῆς Ἀσίας, ἀλλὰ μᾶλλον ἐλπίδας ἔχοντα μεγάλας αἱρήσειν βασιλέα, ἀπορῶν, τί χρῷτο τοῖς πράγμασι, πέμπει Τιμοκράτην τὸν Ῥόδιον εἰς Ἑλλάδα, δοὺς χρυσίον εἰς πεντήκοντα τάλαντα ἀργυρίου, καὶ κελεύει πειρᾶσθαι πιστὰ τὰ μέγιστα λαμβάνοντα διδόναι τοῖς προεστηκό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιν ἐν ταῖς πόλεσι, ἐφ' ᾧτε πόλεμον ἐξοίσειν πρὸς Λακεδαιμονίους. 'Εκεῖνος δ' ἐλθὼν δίδωσιν ἐν Θήβαις μὲν 'Ανδροκλείδᾳ τε καὶ 'Ισμηνίᾳ καὶ Γαλαξειδώρῳ, ἐν Κορίνθῳ δὲ Τιμολάῳ τε καὶ Πολυάνθει, ἐν ''Αργει δὲ Κύλωνί τε καὶ τοῖς μετ' αὐτοῦ. 'Αθηναῖοι δὲ καὶ οὐ μεταλαβόντες τούτου τοῦ χρυσίου ὅμως πρόθυμοι ἦσαν εἰς τὸν πόλεμον. Οἱ μὲν δὴ δεξάμενοι τὰ χρήματα εἰς τὰς οἰκείας πόλεις διέβαλλον τοὺς Λακεδαιμονίους· ἐπεὶ δὲ ταύτας εἰς μῖσος αὐτῶν προήγαγον, συνίστασαν καὶ τὰς μεγίστας πόλεις πρὸς ἀλλήλας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ

### Α. ΛΗΞΙΣ ΤΗΣ ΕΙΣ Μ. ΑΣΙΑΝ ΕΚΣΤΡΑΤΕΙΑΣ

#### 14. Ὁ Ἀγησίλαος εἰς τὴν Φρυγίαν. Συνάντησις αὐτοῦ μετὰ τοῦ Φαρναβάζου.

(**1**, 1 - 3, 15 - 39, 41)

Ὁ δὲ Ἀγησίλαος ἐπεὶ ἀφίκετο ἅμα μετοπώρῳ εἰς τὴν § 1 - 3
τοῦ Φαρναβάζου Φρυγίαν, τὴν μὲν χώραν ἔκαε καὶ ἐπόρθει, πόλεις δὲ τὰς μὲν βίᾳ, τὰς δ' ἑκούσας προσελάμβανε. Λέγοντος δὲ τοῦ Σπιθριδάτου, ὡς, εἰ ἔλθοι πρὸς τὴν Παφλαγονίαν σὺν αὐτῷ, Ὄτυν, τὸν τῶν Παφλαγόνων βασιλέα, καὶ εἰς λόγους ἄξοι καὶ σύμμαχον ποιήσοι, προθύμως ἐπορεύετο, πάλαι τούτου ἐπιθυμῶν, τοῦ ἀφιστάναι τι ἔθνος ἀπὸ βασιλέως. Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Παφλαγονίαν, ἦλθεν Ὄτυς καὶ συμμαχίαν ἐποιήσατο· καὶ γὰρ καλούμενος ὑπὸ βασιλέως οὐκ ἀνεβεβήκει. Πείσαντος δὲ τοῦ Σπιθριδάτου κατέλιπε τῷ Ἀγησιλάῳ Ὄτυς χιλίους μὲν ἱππέας, δισχιλίους δὲ πελταστάς.

Μετὰ δὲ ταῦτα ὁ Ἀγησίλαος ἐπὶ Δασκυλείου ἀπεπορεύ- § 15 - 16
ετο, ἔνθα καὶ τὰ βασίλεια ἦν Φαρναβάζῳ καὶ κῶμαι περὶ αὐτὰ πολλαὶ καὶ μεγάλαι καὶ ἄφθονα ἔχουσαι τὰ ἐπιτήδεια καὶ θῆραι αἱ μὲν ἐν περιειργμένοις παραδείσοις, αἱ δὲ καὶ ἐν ἀναπεπταμένοις τόποις, πάγκαλαι. Παρέρρει δὲ καὶ ποταμὸς παντοδαπῶν ἰχθύων πλήρης. Ἦν δὲ καὶ τὰ πτηνὰ ἄφθονα τοῖς ὀρνιθεῦσαι δυναμένοις. Ἐνταῦθα μὲν δὴ διεχείμαζε, καὶ αὐτόθεν καὶ σὺν προνομαῖς τὰ ἐπιτήδεια τῇ στρατιᾷ λαμβάνων.

Καταφρονητικῶς δέ ποτε καὶ ἀφυλάκτως διὰ τὸ μηδὲν § 17 - 19

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πρότερον ἐσφάλθαι λαμβανόντων τῶν στρατιωτῶν τὰ ἐπιτήδεια, ἐπέτυχεν αὐτοῖς ὁ Φαρνάβαζος κατὰ τὸ πεδίον ἐσπαρμένοις, ἅρματα μὲν ἔχων δύο δρεπανηφόρα, ἱππέας δὲ ὡς τετρακοσίους. Οἱ δ' Ἕλληνες ὡς εἶδον αὐτὸν προσελαύνοντα, συνέδραμον ὡς εἰς ἑπτακοσίους· ὁ δ' οὐκ ἐμέλλησεν, ἀλλὰ προστησάμενος τὰ ἅρματα, αὐτὸς δὲ σὺν τοῖς ἱππεῦσι ὄπισθεν γενόμενος ἐλαύνειν εἰς αὐτοὺς ἐκέλευσεν. Ὡς δὲ τὰ ἅρματα ἐμβαλόντα διεσκέδασε τὸ ἀθρόον, ταχὺ οἱ ἱππεῖς κατέβαλον ὡς εἰς ἑκατὸν ἀνθρώπους, οἱ δ' ἄλλοι κατέφυγον πρὸς Ἀγησίλαον· ἐγγὺς γὰρ ἔτυχε σὺν τοῖς ὁπλίταις ὤν.

§ 20 - 21 Ἐκ δὲ τούτου τρίτῃ ἢ τετάρτῃ ἡμέρᾳ αἰσθάνεται ὁ Σπιθριδάτης τὸν Φαρνάβαζον ἐν Καυῇ κώμῃ μεγάλῃ στρατοπεδευόμενον, ἀπέχοντα στάδια ὡς ἑξήκοντα καὶ ἑκατόν, καὶ εὐθὺς λέγει πρὸς τὸν Ἡριππίδαν. Καὶ ὁ Ἡριππίδας, ἐπιθυμῶν λαμπρόν τι ἐργάσασθαι, αἰτεῖ τὸν Ἀγησίλαον ὁπλίτας τε εἰς δισχιλίους καὶ πελταστὰς ἄλλους τοσούτους καὶ ἱππέας τούς τε Σπιθριδάτου καὶ τοὺς Παφλαγόνας καὶ τῶν Ἑλλήνων ὁπόσους πείσειεν.

§ 22 - 25 Ἐπεὶ δὲ ὑπέσχετο αὐτῷ, ἐθύετο. Καὶ ἅμα δείλῃ καλλιερησάμενος κατέλυσε τὴν θυσίαν. Ἐκ δὲ τούτου δειπνήσαντας παρήγγειλε παρεῖναι πρόσθεν τοῦ στρατοπέδου. Σκότους δὲ γενομένου οὐδ' οἱ ἡμίσεις ἑκάστων ἐξῆλθον. Ὅπως δὲ μή, εἰ ἀποτρέποιτο, καταγελῷεν αὐτοῦ οἱ ἄλλοι τριάκοντα, ἐπορεύετο σὺν τῇ δυνάμει, ἣν εἶχεν. Ἅμα δὲ τῇ ἡμέρᾳ ἐπιπεσὼν τῇ Φαρναβάζου στρατοπεδείᾳ, τῆς μὲν προφυλακῆς αὐτοῦ Μυσῶν ὄντων πολλοὶ ἔπεσον, αὐτοὶ δὲ διαφεύγουσι· τὸ δὲ στρατόπεδον ἁλίσκεται, καὶ πολλὰ μὲν ἐκπώματα καὶ ἄλλα δὴ οἷα Φαρναβάζου κτήματα, πρὸς δὲ τούτοις σκεύη πολλὰ καὶ ὑποζύγια σκευοφόρα. Διὰ γὰρ τὸ φοβεῖσθαι μή, εἴ που κατασταίη, κυκλωθεὶς πολιορκοῖτο, ἄλλοτε ἄλλῃ τῆς χώρας ἀπῄει, ὥσπερ οἱ νομάδες, καὶ μάλα ἀφανίζων τὰς στρατοπεδεύσεις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐπεὶ δὲ τὰ ληφθέντα χρήματα ἀπήγαγον οἵ τε Παφλαγόνες καὶ ὁ Σπιθριδάτης, ὑποστήσας Ἡριππίδας ταξιάρχους καὶ λοχαγοὺς ἀφείλετο ἅπαντα τόν τε Σπιθριδάτην καὶ τοὺς Παφλαγόνας, ἵνα δὴ πολλὰ ἀπαγάγοι τὰ αἰχμάλωτα τοῖς λαφυροπώλαις. Ἐκεῖνοι μέντοι ταῦτα παθόντες οὐκ ἤνεγκαν, ἀλλ' ὡς ἀδικηθέντες καὶ ἀτιμασθέντες νυκτὸς συσκευασάμενοι ᾤχοντο ἀπιόντες εἰς Σάρδεις πρὸς Ἀριαῖον, πιστεύσαντες, ὅτι καὶ ὁ Ἀριαῖος ἀποστὰς βασιλέως ἐπολέμησεν αὐτῷ. Ἀγησιλάῳ μὲν δὴ τῆς ἀπολείψεως τοῦ Σπιθριδάτου καὶ τοῦ Μεγαβάτου καὶ τῶν Παφλαγόνων οὐδὲν ἐγένετο βαρύτερον ἐν τῇ στρατείᾳ. § 26 - 28

Ἦν δέ τις Ἀπολλοφάνης Κυζικηνός, ὃς καὶ Φαρναβάζῳ ἐτύγχανεν ἐκ παλαιοῦ ξένος ὢν καὶ Ἀγησιλάῳ κατ' ἐκεῖνον τὸν χρόνον ἐξενώθη. Οὗτος οὖν εἶπε πρὸς τὸν Ἀγησίλαον, ὡς οἴοιτο συναγαγεῖν αὐτῷ ἂν εἰς λόγους περὶ φιλίας Φαρνάβαζον. Ὡς δ' ἤκουσεν αὐτοῦ, σπονδὰς λαβὼν καὶ δεξιὰν παρῆν ἄγων τὸν Φαρνάβαζον εἰς συγκείμενον χωρίον, ἔνθα δὴ Ἀγησίλαος καὶ οἱ περὶ αὐτὸν τριάκοντα χαμαὶ ἐν πόᾳ τινὶ κατακείμενοι ἀνέμενον· ὁ δὲ Φαρνάβαζος ἧκεν ἔχων στολὴν πολλοῦ χρυσοῦ ἀξίαν. Ὑποτιθέντων δὲ αὐτῷ τῶν θεραπόντων ῥαπτά, ἐφ' ὧν καθίζουσιν οἱ Πέρσαι μαλακῶς, ᾐσχύνθη ἐντρυφῆσαι, ὁρῶν τοῦ Ἀγησιλάου τὴν φαυλότητα· κατεκλίθη οὖν καὶ αὐτός, ὥσπερ εἶχε, χαμαί. Καὶ πρῶτα μὲν ἀλλήλους χαίρειν προσεῖπον· ἔπειτα τὴν δεξιὰν προτείναντος τοῦ Φαρναβάζου ἀντιπρούτεινε καὶ ὁ Ἀγησίλαος. § 29 - 31

Μετὰ δὲ τοῦτο ἤρξατο τοῦ λόγου ὁ Φαρνάβαζος· καὶ γὰρ ἦν πρεσβύτερος· «Ὦ Ἀγησίλαε καὶ πάντες οἱ παρόντες Λακεδαιμόνιοι, ἐγὼ ὑμῖν, ὅτε τοῖς Ἀθηναίοις ἐπολεμεῖτε, φίλος καὶ σύμμαχος ἐγενόμην, καὶ τὸ μὲν ναυτικὸν τὸ ὑμέτερον χρήματα παρέχων ἰσχυρὸν ἐποίουν, ἐν δὲ τῇ γῇ αὐτὸς ἀπὸ τοῦ ἵππου μαχόμενος μεθ' ὑμῶν εἰς τὴν θάλατταν κατεδίωκον § 32 - 33

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὺς πολεμίους, καὶ διπλοῦν, ὥσπερ Τισσαφέρνους, οὐδὲν πώποτέ μου οὔτε ποιήσαντος οὔτ' εἰπόντος πρὸς ὑμᾶς ἔχοιτ' ἂν κατηγορῆσαι· τοιοῦτος δὲ γενόμενος νῦν οὕτω διάκειμαι ὑφ' ὑμῶν, ὡς οὐδὲ δεῖπνον ἔχω ἐν τῇ ἐμαυτοῦ χώρᾳ, εἰ μή τι, ὧν ἂν ὑμεῖς λίπητε, συλλέξομαι, ὥσπερ τὰ θηρία. Ἃ δέ μοι ὁ πατὴρ καὶ οἰκήματα καλὰ καὶ παραδείσους καὶ δένδρων καὶ θηρίων μεστοὺς κατέλιπεν, ἐφ' οἷς ηὐφραινόμην, ταῦτα πάντα ὁρῶ τὰ μὲν κατακεκομμένα, τὰ δὲ κατακεκαυμένα. Εἰ οὖν ἐγὼ μὴ γιγνώσκω μήτε τὰ ὅσια μήτε τὰ δίκαια, ὑμεῖς δὲ διδάξατέ με, ὅπως ταῦτ' ἐστὶ ἀνδρῶν ἐπισταμένων χάριτας ἀποδιδόναι ».

§ 34 - 36 Ὁ μὲν ταῦτ' εἶπεν· οἱ δὲ τριάκοντα πάντες μὲν ἐπησχύνθησαν αὐτὸν καὶ ἐσιώπων· ὁ δὲ Ἀγησίλαος χρόνῳ ποτὲ εἶπεν· «Ἀλλ' οἶμαι μέν σε, ὦ Φαρνάβαζε, εἰδέναι, ὅτι καὶ ἐν ταῖς Ἑλληνικαῖς πόλεσι ξένοι ἀλλήλοις γίγνονται ἄνθρωποι. Οὗτοι δέ, ὅταν αἱ πόλεις πολέμιαι γένωνται, σὺν ταῖς πατρίσι καὶ τοῖς ἐξεγωμένοις πολεμοῦσι καί, ἂν οὕτω τύχωσιν, ἔστιν ὅτε καὶ ἀπέκτειναν ἀλλήλους. Καὶ ἡμεῖς οὖν νῦν βασιλεῖ τῷ ὑμετέρῳ πολεμοῦντες πάντα ἠναγκάσμεθα τὰ ἐκείνου πολέμια νομίζειν· σοί γε μέντοι φίλοι γενέσθαι περὶ παντὸς ἂν ποιησαίμεθα. Καὶ εἰ μὲν ἀλλάξασθαί σε ἔδει ἀντὶ δεσπότου βασιλέως ἡμᾶς δεσπότας, οὐκ ἂν ἔγωγέ σοι συνεβούλευον· νῦν δὲ ἔξεστί σοι μεθ' ἡμῶν γενομένῳ μηδένα προσκυνοῦντα μηδὲ δεσπότην ἔχοντα ζῆν καρπούμενον τὰ σαυτοῦ. Καίτοι ἐλεύθερον εἶναι ἐγὼ μὲν οἶμαι ἀντάξιον εἶναι τῶν πάντων χρημάτων· οὐδὲ μέντοι τοῦτό σε κελεύομεν, πένητα μέν, ἐλεύθερον δ' εἶναι, ἀλλ' ἡμῖν συμμάχοις χρώμενον αὔξειν μὴ τὴν βασιλέως, ἀλλὰ τὴν σαυτοῦ ἀρχήν, τοὺς νῦν ὁμοδούλους σοι καταστρεφόμενον, ὥστε σοὺς ὑπηκόους εἶναι· καίτοι, εἰ ἅμα ἐλεύθερός τ' εἴης καὶ πλούσιος γένοιο, τίνος ἂν δέοις μὴ οὐχὶ πάμπαν εὐδαίμων εἶναι ; »

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

« Οὐκοῦν », ἔφη ὁ Φαρνάβαζος, « ἁπλῶς ὑμῖν ἀποκρίνωμαι, ἅπερ ποιήσω;» « Πρέπει γοῦν σοι ». «Ἐγὼ τοίνυν», ἔφη, « ἐὰν βασιλεὺς ἄλλον μὲν στρατηγὸν πέμπῃ, ἐμὲ δὲ ὑπήκοον ἐκείνου τάττῃ, βουλήσομαι ὑμῖν καὶ φίλος καὶ σύμμαχος εἶναι· ἐὰν μέντοι μοι τὴν ἀρχὴν προστάττῃ, ( τοιοῦτόν τι, ὡς ἔοικε, φιλοτιμία ἐστίν ), εὖ χρὴ εἰδέναι, ὅτι πολεμήσω ὑμῖν, ὡς ἂν δύνωμαι ἄριστα ». § 37

Ἀκούσας ταῦτα ὁ Ἀγησίλαος ἐλάβετο τῆς χειρὸς αὐτοῦ καὶ εἶπεν· « Εἴθ', ὦ λῷστε, τοιοῦτος ὢν φίλος ἡμῖν γένοιο. Ἓν δ' οὖν ἐπίστω, ὅτι νῦν τε ἄπειμι, ὡς ἂν δύνωμαι τάχιστα, ἐκ τῆς σῆς χώρας, τοῦ τε λοιποῦ, κἂν πόλεμος ᾖ, ἕως ἂν ἐπ' ἄλλον ἔχωμεν στρατεύεσθαι, σοῦ τε καὶ τῶν σῶν ἀφεξόμεθα ». § 38

Τούτων δὲ λεχθέντων διέλυσε τὴν σύνοδον. Καὶ ὁ μὲν Φαρνάβαζος ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπῄει, ὁ δὲ ἐκ τῆς Παραπίτας υἱὸς αὐτοῦ, καλὸς ὤν, ὑπολειφθεὶς καὶ προσδραμὼν « Ξένον σε », ἔφη, « ὦ Ἀγησίλαε, ποιοῦμαι ». « Ἐγὼ δέ γε δέχομαι ». « Μέμνησο τοίνυν », ἔφη. Καὶ εὐθὺς τὸ παλτόν, ( εἶχε δὲ καλόν ), ἔδωκε τῷ Ἀγησιλάῳ. Ὁ δὲ δεξάμενος φάλαρα ἔχοντος περὶ τῷ ἵππῳ Ἰδαίου τοῦ γραφέως πάγκαλα περιελὼν ἀντέδωκεν αὐτῷ. Τότε μὲν οὖν ὁ παῖς ἀναπηδήσας ἐπὶ τὸν ἵππον μετεδίωκε τὸν πατέρα. § 39 - 40

Καὶ τότε δή, ὥσπερ εἶπε πρὸς τὸν Φαρνάβαζον, εὐθὺς ἀπεπορεύετο ἐκ τῆς χώρας· σχεδὸν δὲ καὶ ἔαρ ἤδη ὑπέφαινεν. Ἀφικόμενος δὲ εἰς Θήβης πεδίον κατεστρατοπεδεύσατο περὶ τὸ τῆς Ἀστυρηνῆς Ἀρτέμιδος ἱερόν, καὶ ἐκεῖ, πρὸς ᾧ εἶχε, συνέλεγε πανταχόθεν παμπληθὲς στράτευμα. Παρεσκευάζετο γὰρ πορευσόμενος, ὡς δύναιτο, ἀνωτάτω, νομίζων, ὁπόσα ὄπισθεν ποιήσαιτο ἔθνη, πάντα ἀποστήσειν βασιλέως. § 41

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 15. 'Ανάκλησις τοῦ 'Αγησιλάου ἐκ τῆς Μ. 'Ασίας.

( **2**, 1 - 8 )

§ 1 - 2 'Αγησίλαος μὲν δὴ ἐν τούτοις ἦν. Οἱ δὲ Λακεδαιμόνιοι ἐπεὶ σαφῶς ᾔσθοντο τά τε χρήματα ἐληλυθότα εἰς τὴν 'Ελλάδα καὶ τὰς μεγίστας πόλεις συνεστηκυίας ἐπὶ πολέμῳ πρὸς ἑαυτούς, ἐν κινδύνῳ τε τὴν πόλιν ἐνόμισαν καὶ στρατεύειν ἀναγκαῖον ἡγήσαντο εἶναι. Καὶ αὐτοὶ μὲν ταῦτα παρεσκευάζοντο, εὐθὺς δὲ καὶ ἐπὶ τὸν 'Αγησίλαον πέμπουσιν 'Επικυδίδαν. 'Ο δ' ἐπεὶ ἀφίκετο, τά τε ἄλλα διηγεῖτο, ὡς ἔχοι, καὶ ὅτι ἡ πόλις ἐπιστέλλοι αὐτῷ βοηθεῖν, ὡς τάχιστα τῇ πατρίδι.

§ 3 - 4 'Ο δὲ 'Αγησίλαος ἐπεὶ ἤκουσε, χαλεπῶς μὲν ἤνεγκεν ἐνθυμούμενος, καὶ οἵων τιμῶν καὶ οἵων ἐλπίδων ἀποστεροῖτο, ὅμως δὲ συγκαλέσας τοὺς συμμάχους ἐδήλωσε τὰ ὑπὸ τῆς πόλεως παραγγελλόμενα, καὶ εἶπεν, ὅτι ἀναγκαῖον εἴη βοηθεῖν τῇ πατρίδι· « ἐὰν μέντοι ἐκεῖνα καλῶς γένηται, εὖ ἐπίστασθε », ἔφη, « ὦ ἄνδρες σύμμαχοι, ὅτι οὐ μὴ ἐπιλάθωμαι ὑμῶν, ἀλλὰ πάλιν παρέσομαι πράξων, ὧν ὑμεῖς δεῖσθε ». 'Ακούσαντες δὲ ταῦτα πολλοὶ μὲν ἐδάκρυσαν, πάντες δ' ἐψηφίσαντο βοηθεῖν μετ' 'Αγησιλάου τῇ Λακεδαίμονι. Εἰ δὲ καλῶς τἀκεῖ γένοιτο, λαβόντες αὐτὸν πάλιν ἥκειν εἰς τὴν 'Ασίαν. Καὶ οἱ μὲν συνεσκευάζοντο ὡς ἀκολουθήσοντες.

§ 5 - 6 'Ο δὲ 'Αγησίλαος ἐν μὲν τῇ 'Ασίᾳ κατάλιπεν Εὔξενον ἁρμοστὴν καὶ φρουροὺς παρ' αὐτῷ οὐκ ἔλαττον τετρακισχιλίων, ἵνα δύναιτο διασῴζειν τὰς πόλεις· αὐτὸς δὲ ὁρῶν, ὅτι πολλοὶ τῶν στρατιωτῶν μένειν ἐπεθύμουν μᾶλλον ἢ ἐφ' Ἕλληνας στρατεύεσθαι, βουλόμενος ὡς βελτίστους καὶ πλείστους ἄγειν μεθ' ἑαυτοῦ, ἆθλα προύθηκε ταῖς πόλεσιν, ἥτις ἄριστον στράτευμα πέμποι, καὶ τῶν μισθοφόρων τοῖς λοχαγοῖς, ὅστις εὐοπλότατον λόχον ἔχων στρατεύοιτο καὶ ὁπλιτῶν καὶ τοξοτῶν καὶ πελταστῶν· προεῖπε δὲ καὶ τοῖς ἱππάρχοις, ὅστις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εὐιπποτάτην καὶ εὐοπλοτάτην τάξιν παρέχοιτο, ὡς καὶ τούτοις νικητήριον δώσων. Τὴν δὲ κρίσιν ἔφη ποιήσειν, ἐπεὶ διαβαίησαν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, ἐν Χερρονήσῳ, ὅπως εὖ εἰδείησαν, ὅτι τοὺς στρατευομένους δεῖ εὐκρινεῖν.

Ἦν δὲ τὰ ἆθλα τὰ μὲν πλεῖστα ὅπλα ἐκπεπονημένα εἰς § 7
κόσμον καὶ ὁπλιτικὰ καὶ ἱππικά· ἦσαν δὲ καὶ στέφανοι χρυσοῖ. Τὰ δὲ πάντα ἆθλα οὐκ ἔλαττον ἐγένοντο ἢ ἀπὸ τεττάρων ταλάντων. Τοσούτων μέντοι ἀναλωθέντων, παμπόλλων χρημάτων ὅπλα εἰς τὴν στρατιὰν κατεσκευάσθη.

Ἐπεὶ δὲ διέβη τὸν Ἑλλήσποντον, κριταὶ κατέστησαν Λα- § 8
κεδαιμονίων μὲν Μένασκος καὶ Ἡριππίδας καὶ Ὄρσιππος, τῶν συμμάχων εἷς ἀπὸ πόλεως. Καὶ Ἀγησίλαος μὲν ἐπεὶ τὴν κρίσιν ἐποίησεν, ἔχων τὸ στράτευμα ἐπορεύετο τὴν αὐτὴν ὁδόν, ἥνπερ βασιλεύς, ὅτε ἐπὶ Ἑλλάδα ἐστράτευεν.

## Β. ΟΙ ΝΕΟΙ ΑΓΩΝΕΣ ΜΕΤΑΞΥ ΤΩΝ ΕΛΛΗΝΩΝ

### ( Ο ΚΟΡΙΝΘΙΑΚΟΣ Ἢ ΒΟΙΩΤΙΚΟΣ ΠΟΛΕΜΟΣ )

### 16. Ἡ ἐν Νεμέᾳ μάχη ( 394 π. Χ. )

( 2, 9 - 15, 18 - 23 )

Ἐν δὲ τούτῳ οἱ μὲν ἔφοροι φρουρὰν ἔφηναν· ἡ δὲ πόλις, § 9 - 12
ἐπεὶ Ἀγησίπολις παῖς ἔτι ἦν, Ἀριστόδημον, τοῦ γένους ὄντα καὶ πρόδικον τοῦ παιδός, ἡγεῖσθαι τῇ στρατιᾷ ἐκέλευον. Ἐπεὶ δ' ἐξῇσαν μὲν οἱ Λακεδαιμόνιοι, συνειλεγμένοι δ' ἦσαν οἱ ἐναντίοι, συνελθόντες ἐβουλεύοντο, πῶς ἂν τὴν μάχην συμφορώτατα σφίσιν αὐτοῖς ποιήσαιντο. Τιμόλαος μὲν Κορίνθιος ἔλεξεν· « Ἀλλ' ἐμοὶ δοκεῖ », ἔφη, « ὦ ἄνδρες σύμμαχοι, τοιοῦτον εἶναι τὸ τῶν Λακεδαιμονίων πρᾶγμα, οἷόνπερ τὸ τῶν ποταμῶν. Οἵ τε γὰρ ποταμοὶ πρὸς μὲν ταῖς πηγαῖς οὐ μεγά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λοι εἰσὶν ἀλλ' εὐδιάβατοι, ὅσῳ δ' ἂν πορρωτέρω γένωνται, ἐπεμβάλλοντες ἕτεροι ποταμοὶ τοσούτῳ ἰσχυρότερον αὐτῶν τὸ ῥεῦμα ποιοῦσι, καὶ οἱ Λακεδαιμόνιοι ὡσαύτως, ἔνθεν μὲν ἐξέρχονται, αὐτοὶ μόνοι εἰσί, προϊόντες δὲ καὶ παραλαμβάνοντες τὰς πόλεις πλείονές τε καὶ δυσμαχώτεροι γίγνονται. Ὁρῶ δ' ἔγωγε », ἔφη, « καὶ ὁπόσοι σφῆκας ἐξαιρεῖν βούλονται, ἐὰν μὲν ἐκθέοντες τοὺς σφῆκας πειρῶνται θηρᾶν, ὑπὸ πολλῶν τυπτομένους· ἐὰν δ' ἔτι ἔνδον ὄντων τὸ πῦρ προσφέρωσι, πάσχοντας μὲν οὐδέν, χειρουμένους δὲ τοὺς σφῆκας. Ταῦτ' οὖν ἐνθυμούμενος ἡγοῦμαι κράτιστον εἶναι μάλιστα μὲν ἐν αὐτῇ, εἰ δὲ μή, ὅ,τι ἐγγύτατα τῆς Λακεδαίμονος τὴν μάχην ποιεῖσθαι ». Δόξαντος δ' εὖ λέγειν αὐτοῦ ἐψηφίσαντο ταῦτα.

§ 13 - 15 Ἐν ᾧ δὲ περὶ ἡγεμονίας τε διεπράττοντο καὶ διωμολογοῦντο, εἰς ὁπόσους δέοι τάττεσθαι πᾶν τὸ στράτευμα, ὅπως μὴ λίαν βαθείας τὰς φάλαγγας ποιούμεναι αἱ πόλεις κύκλωσιν τοῖς πολεμίοις παρέχοιεν, ἐν τούτῳ οἱ Λακεδαιμόνοι καὶ δὴ Τεγεάτας παρειληφότες καὶ Μαντινέας ἐξῆσαν τὴν ἀμφίαλον. Καὶ πορευόμενοι, σχεδόν τι ἅμα οἱ μὲν περὶ τοὺς Κορινθίους ἐν τῇ Νεμέᾳ ἦσαν, οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ σύμμαχοι ἐν τῷ Σικυῶνι. Ἐμβαλόντων δὲ αὐτῶν κατὰ τὴν Ἐπιεικίαν, τὸ μὲν πρῶτον ἐκ τῶν ὑπερδεξίων βάλλοντες αὐτοὺς καὶ τοξεύοντες μάλα κακῶς ἐποίουν οἱ γυμνῆτες τῶν ἀντιπάλων· ὡς δὲ κατέβησαν ἐπὶ θάλατταν, ταύτῃ προῇσαν διὰ τοῦ πεδίου, τέμνοντες καὶ κάοντες τὴν χώραν· καὶ οἱ ἕτεροι μέντοι ἐπελθόντες κατεστρατοπεδεύσαντο, ἔμπροσθεν ποιησάμενοι τὴν χαράδραν· ἐπεὶ δὲ προϊόντες οἱ Λακεδαιμόνιοι οὐκέτι δέκα στάδια ἀπεῖχον τῶν πολεμίων, κἀκεῖνοι αὐτοῦ στρατοπεδευσάμενοι ἡσυχίαν εἶχον.

§ 18 Οἱ δὲ Βοιωτοὶ ἕως μὲν τὸ εὐώνυμον εἶχον, οὐδέν τι κατήπειγον τὴν μάχην συνάπτειν· ἐπεὶ δὲ οἱ μὲν Ἀθηναῖοι κατὰ Λακεδαιμονίους ἐγένοντο, αὐτοὶ δὲ τὸ δεξιὸν ἔσχον καὶ κατ'

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀχαιοὺς ἀντετάχθησαν, εὐθὺς τά τε ἱερὰ καλὰ ἔφασαν εἶναι καὶ παρήγγειλαν παρασκευάζεσθαι ὡς μάχης ἐσομένης· καὶ πρῶτον μέν, ἀμελήσαντες τοῦ εἰς ἑκκαίδεκα, βαθεῖαν παντελῶς ἐποιήσαντο τὴν φάλαγγα, ἔτι δὲ καὶ ἦγον ἐπὶ τὰ δεξιά, ὅπως ὑπερέχοιεν τῷ κέρατι τῶν πολεμίων. Οἱ δ' Ἀθηναῖοι, ἵνα μὴ διασπασθείησαν, ἐπηκολούθουν, καίπερ γιγνώσκοντες, ὅτι κίνδυνος εἴη κυκλωθῆναι.

Τέως μὲν οὖν Λακεδαιμόνιοι οὐκ ᾐσθάνοντο προσι- § 19
όντων τῶν πολεμίων· καὶ γὰρ ἦν λάσιον τὸ χωρίον· ἐπεὶ δ' ἐπαιάνισαν, τότε δὴ ἔγνωσαν, καὶ εὐθὺς ἀντιπαρήγγειλαν ἅπαντας διασκευάζεσθαι ὡς εἰς μάχην. Ἐπεὶ δὲ συνετάχθησαν, ὡς ἑκάστους οἱ ξεναγοὶ ἔταξαν, παρηγγύησαν μὲν ἀκολουθεῖν τῷ ἡγουμένῳ, ἦγον δὲ οἱ Λακεδαιμόνιοι ἐπὶ τὰ δεξιά, καὶ οὕτω πολὺ ὑπερέτεινον τὸ κέρας, ὥστε τῶν Ἀθηναίων αἱ μὲν ἓξ φυλαὶ κατὰ τοὺς Λακεδαιμονίους ἐγένοντο, αἱ δὲ τέτταρες κατὰ Τεγεάτας.

Οὐκέτι δὲ στάδιον ἀπεχόντων, σφαγιασάμενοι οἱ Λακε- § 20 - 22
δαιμόνιοι τῇ Ἀγροτέρᾳ, ὥσπερ νομίζεται, τὴν χίμαιραν, ἡγοῦντο ἐπὶ τοὺς ἐναντίους, τὸ ὑπερέχον ἐπικάμψαντες εἰς κύκλωσιν. Ἐπεὶ δὲ συνέμειξαν, οἱ μὲν ἄλλοι σύμμαχοι πάντες οἱ τῶν Λακεδαιμονίων ἐκρατήθησαν ὑπὸ τῶν ἐναντίων, Πελληνεῖς δὲ κατὰ Θεσπιέας γενόμενοι ἐμάχοντό τε καὶ ἐν χώρᾳ ἔπιπτον ἑκατέρων. Αὐτοὶ δὲ οἱ Λακεδαιμόνιοι, ὅσον τε κατέσχον τῶν Ἀθηναίων, ἐκράτησαν, καὶ κυκλωσάμενοι τῷ ὑπερέχοντι πολλοὺς ἀπέκτειναν αὐτῶν, καὶ ἅτε δὴ ἀπαθεῖς ὄντες συντεταγμένοι ἐπορεύοντο· καὶ τὰς μὲν τέτταρας φυλὰς τῶν Ἀθηναίων, πρὶν ἐκ τῆς διώξεως ἐπαναχωρῆσαι, παρῆλθον, ὥστε οὐκ ἀπέθανον αὐτῶν πλὴν εἴ τις ἐν τῇ συμβολῇ ὑπὸ Τεγεατῶν· τοῖς δ' Ἀργείοις ἐπιτυγχάνουσιν οἱ Λακεδαιμόνιοι ἀναχωροῦσι, καὶ μέλλοντος τοῦ πρώτου πολεμάρχου ἐκ τοῦ ἐναντίου συμβάλλειν αὐτοῖς, λέγεται ἄρα τις ἀναβοῆσαι ἀφεῖναι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τούς πρώτους. 'Ως δὲ τοῦτο ἐγένετο, παραθέοντας δὴ παίοντες εἰς τὰ γυμνὰ πολλοὺς ἀπέκτειναν αὐτῶν. 'Επελάβοντο δὲ καὶ Κορινθίων ἀναχωρούντων. Ἔτι δ' ἐπέτυχον οἱ Λακεδαιμόνιοι καὶ τῶν Θηβαίων τισὶν ἀναχωροῦσιν ἐκ τῆς διώξεως καὶ ἀπέκτειναν συχνοὺς αὐτῶν.

§ 2 Τούτων δὲ γενομένων, οἱ ἡττώμενοι τὸ μὲν πρῶτον ἔφευγον πρὸς τὰ τείχη· ἔπειτα δ' εἰρξάντων Κορινθίων πάλιν κατεσκήνωσαν εἰς τὸ ἀρχαῖον στρατόπεδον. Λακεδαιμόνιοι δ' αὖ ἐπαναχωρήσαντες, ἔνθα τὸ πρῶτον τοῖς πολεμίοις συνέμειξαν, ἐστήσαντο τρόπαιον. Καὶ αὕτη μὲν δὴ ἡ μάχη οὕτως ἐγένετο.

## 17. 'Ο 'Αγησίλαος εἰς τὴν Θεσσαλίαν καὶ Βοιωτίαν. 'Η ἐν Κορωνείᾳ μάχη ( 394 π. Χ. )

( **3**, 1 - 23 )

§ 1 - 2 'Ο δ' 'Αγησίλαος σπεύδων μὲν ἐκ τῆς 'Ασίας ἐβοήθει· ὄντι δ' αὐτῷ ἐν 'Αμφιπόλει ἀγγέλλει Δερκυλίδας, ὅτι νικῷέν τε αὖ Λακεδαιμόνιοι, καὶ αὐτῶν μὲν τεθνάναι ὀκτώ, τῶν δὲ πολεμίων παμπληθεῖς· ἐδήλου δέ, ὅτι καὶ τῶν συμμάχων οὐκ ὀλίγοι πεπτωκότες εἶεν. 'Ερομένου δὲ τοῦ 'Αγησιλάου· «Ἆρ' ἄν, ὦ Δερκυλίδα, ἐν καιρῷ γένοιτο, εἰ αἱ συμπέμπουσαι πόλεις ἡμῖν τοὺς στρατιώτας τὴν νίκην ὡς τάχιστα πύθοιντο ;» ἀπεκρίνατο δὴ ὁ Δερκυλίδας· «Εὐθυμοτέρους γοῦν εἰκὸς ταῦτ' ἀκούσαντας εἶναι ». « Οὐκοῦν, σύ, ἐπεὶ παρεγένου, κάλλιστ' ἂν ἀπαγγείλαις ; », ὁ δὲ ἄσμενος ἀκούσας, ( καὶ γὰρ ἀεὶ φιλαπόδημος ἦν ), εἶπεν· « Εἰ σὺ τάττεις ». « 'Αλλὰ τάττω », ἔφη, « καὶ προσαπαγγέλλειν κελεύω, ὅτι, ἐὰν καὶ τάδε εὖ γένηται, πάλιν παρεσόμεθα, ὥσπερ καὶ ἔφαμεν ».

§ 3 'Ο μὲν δὴ Δερκυλίδας ἐφ' 'Ελλησπόντου πρῶτον ἐπορεύετο, ὁ δ' 'Αγησίλαος διαλλάξας Μακεδονίαν εἰς Θετταλίαν ἀφίκετο. Λαρισαῖοι μὲν οὖν καὶ Κραννώνιοι καὶ Σκουτουσ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σαῖοι καὶ Φαρσάλιοι, σύμμαχοι ὄντες Βοιωτοῖς, καὶ πάντες δὲ Θετταλοί, πλὴν ὅσοι αὐτῶν φυγάδες τότ' ἐτύγχανον, ἐκακούργουν αὐτὸν ἐπακολουθοῦντες.

Ὁ δὲ τέως μὲν ἦγεν ἐν πλαισίῳ τὸ στράτευμα, τοὺς ἡμίσεις μὲν ἔμπροσθεν, τοὺς ἡμίσεις δ' ἐπ' οὐρᾷ ἔχων τῶν ἱππέων. Ἐπεὶ δ' ἐκώλυον τῆς πορείας οἱ Θετταλοὶ ἐπελαύνοντες τοῖς ὄπισθεν, παραπέμπει ἐπ' οὐρὰν καὶ τὸ ἀπὸ τοῦ στόματος ἱππικὸν πλὴν τῶν περὶ αὐτόν. Ὡς δὲ παρετάξαντο ἀλλήλοις, οἱ μὲν Θετταλοὶ νομίσαντες οὐκ ἐν καλῷ εἶναι πρὸς τοὺς ὁπλίτας ἱππομαχεῖν, στρέψαντες βάδην ἀπεχώρουν, οἱ δὲ μάλα σωφρόνως ἐπηκολούθουν. § 4 - 5

Γνοὺς δὲ ὁ Ἀγησίλαος ἃ ἑκάτεροι ἡμάρτανον, πέμπει τοὺς περὶ αὐτὸν μάλα εὐρώστους ἱππέας καὶ κελεύει τοῖς τε ἄλλοις παραγγέλλειν καὶ αὐτοὺς διώκειν ὡς τάχιστα καὶ μηκέτι δοῦναι αὐτοῖς ἀναστροφήν. Οἱ δὲ Θετταλοὶ ὡς εἶδον παρὰ δόξαν ἐλαύνοντας, οἱ μὲν αὐτῶν οὐδ' ἀνέστρεψαν, οἱ δὲ πειρώμενοι τοῦτο ποιεῖν πλαγίους ἔχοντες τοὺς ἵππους ἡλίσκοντο. Πολύχαρμος μέντοι ὁ Φαρσάλιος ἱππαρχῶν ἀνέστρεψέ τε καὶ μαχόμενος σὺν τοῖς περὶ αὐτὸν ἀποθνῄσκει. Ὡς δὲ τοῦτο ἐγένετο, φυγὴ τῶν Θετταλῶν ἐξαισία γίγνεται· ὥστε οἱ μὲν ἀπέθνῃσκον αὐτῶν, οἱ δὲ καὶ ἡλίσκοντο. Ἔστησαν δ' οὖν οὐ πρόσθεν, πρὶν ἐν τῷ ὄρει τῷ Ναρθακίῳ ἐγένοντο. § 6 - 8

Καὶ τότε μὲν δὴ Ἀγησίλαος τρόπαιόν τ' ἐστήσατο μεταξὺ Πραντὸς καὶ Ναρθακίου, καὶ αὐτοῦ ἔμεινε μάλα ἡδόμενος τῷ ἔργῳ, ὅτι τοὺς μέγιστον φρονοῦντας ἐπὶ ἱππικῇ ἐνενικήκει σὺν τῷ ἱππικῷ, ὃ αὐτὸς συνέλεξε. Τῇ δ' ὑστεραίᾳ ὑπερβαλὼν τὰ Ἀχαϊκὰ τῆς Φθίας ὄρη τὴν λοιπὴν πᾶσαν διὰ φιλίας ἐπορεύετο μέχρι πρὸς τὰ Βοιωτῶν ὅρια. § 9

Ὄντος δ' αὐτοῦ ἐπὶ τῇ ἐμβολῇ ὁ ἥλιος μηνοειδὴς ἔδοξε φανῆναι, καὶ ἠγγέλθη, ὅτι ἡττημένοι εἶεν Λακεδαιμόνιοι τῇ ναυμαχίᾳ καὶ ὁ ναύαρχος Πείσανδρος τεθναίη. Ὁ οὖν Ἀγη- § 10 - 14



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σίλαος πυθόμενος ταῦτα τὸ μὲν πρῶτον χαλεπῶς ἤνεγκεν. Ἐπεὶ μέντοι ἐνεθυμήθη, ὅτι τοῦ στρατεύματος τὸ πλεῖστον εἴη αὐτῷ οἷον ἀγαθῶν μὲν γιγνομένων ἡδέως μετέχειν, εἰ δέ τι χαλεπὸν ὁρῷεν, οὐκ ἀνάγκην εἶναι κοινωνεῖν αὐτοῖς, ἐκ τούτου μεταβαλὼν ἔλεγεν, ὡς ἀγγέλοιτο ὁ μὲν Πείσανδρος τετελευτηκώς, νικῴη δὲ τῇ ναυμαχίᾳ. Ἅμα δὲ ταῦτα λέγων καὶ ἐβουθύτει ὡς εὐαγγέλια καὶ πολλοῖς διέπεμπε τῶν τεθυμένων· ὥστε ἀκροβολισμοῦ ὄντος πρὸς τοὺς πολεμίους ἐκράτησαν οἱ τοῦ Ἀγησιλάου τῷ λόγῳ ὡς τῶν Λακεδαιμονίων νικώντων τῇ ναυμαχίᾳ.

§ 15 Ἦσαν δ' οἱ μὲν ἀντιτεταγμένοι τῷ Ἀγησιλάῳ Βοιωτοί, Ἀθηναῖοι, Ἀργεῖοι, Κορίνθιοι, Αἰνιᾶνες, Εὐβοεῖς, Λοκροὶ ἀμφότεροι· σὺν Ἀγησιλάῳ δὲ Λακεδαιμονίων μὲν μόρα ἡ ἐκ Κορίνθου διαβᾶσα, ἥμισυ δὲ μόρας τῆς ἐξ Ὀρχομενοῦ, ἔτι δ' οἱ ἐκ Λακεδαιμονος νεοδαμώδεις συστρατευσάμενοι αὐτῷ, πρὸς δὲ τούτοις τὸ ξενικόν, οὗ Ἡριππίδας ἐξενάγει, ἔτι δὲ οἱ ἀπὸ τῶν ἐν τῇ Ἀσίᾳ πόλεων Ἑλληνίδων, καὶ ἀπὸ τῶν ἐν τῇ Εὐρώπῃ, ὅσας διιὼν παρέλαβεν. Αὐτόθεν δὲ προσεγένοντο ὁπλῖται Ὀρχομένιοι καὶ Φωκεῖς. Πελτασταί γε μὴν πολὺ πλείονες οἱ μετ' Ἀγησιλάου. Ἱππεῖς δ' αὖ παραπλήσιοι ἀμφοτέροις τὸ πλῆθος. Ἡ μὲν δὴ δύναμις αὕτη ἀμφοτέρων.

§ 16 - 17 Διηγήσομαι δὲ καὶ τὴν μάχην· καὶ γάρ που ἐγένετο, οἵα οὐκ ἄλλη τῶν γ' ἐφ' ἡμῶν. Συνῆσαν μὲν γὰρ εἰς τὸ κατὰ Κορώνειαν πεδίον οἱ μὲν σὺν Ἀγησιλάῳ ἀπὸ τοῦ Κηφισοῦ, οἱ δὲ σὺν Θηβαίοις ἀπὸ τοῦ Ἑλικῶνος. Εἶχε δ' Ἀγησίλαος μὲν δεξιὸν τοῦ μετ' αὐτοῦ, Ὀρχομένιοι δ' αὐτῷ ἔσχατοι ἦσαν τοῦ εὐωνύμου. Οἱ δ' αὖ Θηβαῖοι αὐτοὶ μὲν δεξιοὶ ἦσαν, Ἀργεῖοι δ' αὐτοῖς τὸ εὐώνυμον εἶχον. Συνιόντων δὲ τέως μὲν σιγὴ πολλὴ ἀπ' ἀμφοτέρων ἦν. Ἡνίκα δ' ἀπεῖχον ἀλλήλων ὅσον στάδιον, ἀλαλάξαντες οἱ Θηβαῖοι δρόμῳ ὁμόσε ἐφέροντο. Ὡς δὲ τριῶν ἔτι πλέθρων ἐν μέσῳ ὄντων ἀντεπεξέδραμον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀπὸ τῆς Ἀγησιλάου φάλαγγος οὗτοι, ὧν Ἡριππίδας ἐξενάγει καὶ σὺν αὐτοῖς Ἴωνες καὶ Αἰολεῖς καὶ Ἑλλησπόντιοι, καὶ πάντες οὗτοι τῶν συνεκδραμόντων τε ἐγένοντο καὶ εἰς δόρυ ἀφικόμενοι ἔτρεψαν τὸ καθ' αὑτούς. Ἀργεῖοι μέντοι οὐκ ἐδέξαντο τοὺς περὶ Ἀγησίλαον, ἀλλ' ἔφυγον ἐπὶ τὸν Ἑλικῶνα.

Κἀνταῦθα οἱ μέν τινες τῶν ξένων ἐστεφάνουν ἤδη τὸν § 18 - 19
Ἀγησίλαον, ἀγγέλλει δέ τις αὐτῷ, ὅτι οἱ Θηβαῖοι τοὺς Ὀρχομενίους διακόψαντες ἐν τοῖς σκευοφόροις εἴησαν. Καὶ ὁ μὲν εὐθὺς ἐξελίξας τὴν φάλαγγα ἦγεν ἐπ' αὐτούς. Οἱ δ' αὖ Θηβαῖοι ὡς εἶδον τοὺς συμμάχους πρὸς Ἑλικῶνι πεφευγότας, διαπεσεῖν βουλόμενοι πρὸς τοὺς ἑαυτῶν συσπειραθέντες ἐχώρουν ἐρρωμένως. Ἐνταῦθα Ἀγησίλαον ἀνδρεῖον μὲν ἔξεστιν εἰπεῖν ἀναμφισβητήτως· οὐ μέντοι εἵλετό γε τὰ ἀσφαλέστατα. Ἐξὸν γὰρ αὐτῷ παρέντι τοὺς διαπίπτοντας ἀκολουθοῦντι χειροῦσθαι τοὺς ὄπισθεν, οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέρραξε τοῖς Θηβαίοις. Καὶ συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. Τέλος δὲ τῶν Θηβαίων οἱ μὲν διαπίπτουσι πρὸς Ἑλικῶνα, πολλοὶ δὲ ἀποχωροῦντες ἀπέθανον.

Ἐπεὶ δ' ἡ μὲν νίκη Ἀγησιλάου ἐγεγένητο, τετρωμένος § 20
δ' αὐτὸς προσενήνεκτο πρὸς τὴν φάλαγγα, προσελάσαντές τινες τῶν ἱππέων λέγουσιν αὐτῷ, ὅτι τῶν πολεμίων ὡς ὀγδοήκοντα σὺν ὅπλοις ὑπὸ τῷ νεῴ εἰσι, καὶ ἠρώτων, τί χρὴ ποιεῖν. Ὁ δέ, καίπερ πολλὰ τραύματα ἔχων, ὅμως οὐκ ἐπελάθετο τοῦ θείου, ἀλλ' ἐᾶν τε ἀπιέναι, ᾗ βούλοιντο, ἐκέλευε καὶ ἀδικεῖν οὐκ εἴα. Τότε μὲν οὖν, ( καὶ γὰρ ἦν ἤδη ὀψέ ), δειπνοποιησάμενοι ἐκοιμήθησαν.

Πρῴ δὲ Γῦλιν τὸν πολέμαρχον παρατάξαι τε ἐκέλευε τὸ § 21
στράτευμα καὶ τρόπαιον ἵστασθαι καὶ στεφανοῦσθαι πάντας τῷ θεῷ καὶ τοὺς αὐλητὰς πάντας αὐλεῖν. Καὶ οἱ μὲν ταῦτ' ἐποίουν. Οἱ δὲ Θηβαῖοι ἔπεμψαν κήρυκας ὑποσπόνδους τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νεκρούς αἰτοῦντες θάψαι, καὶ οὕτω δὴ αἵ τε σπονδαὶ γίγνονται καὶ 'Αγησίλαος μὲν εἰς Δελφοὺς ἀφικόμενος δεκάτην τῶν ἐκ τῆς λείας τῷ θεῷ ἀπέθυσεν οὐκ ἔλαττω ἑκατὸν ταλάντων. Γῦλις δὲ ὁ πολέμαρχος ἔχων τὸ στράτευμα ἀπεχώρησεν εἰς Φωκέας, ἐκεῖθεν δ' εἰς τὴν Λοκρίδα ἐμβάλλει.

§ 22 - 23 Καὶ τὴν μὲν ἄλλην ἡμέραν οἱ στρατιῶται καὶ σκεύη ἐκ τῶν κωμῶν καὶ σῖτον ἥρπαζον. 'Επεὶ δὲ πρὸς ἑσπέραν ἦν τελευταίων ἀποχωρούντων τῶν Λακεδαιμονίων ἐπηκολούθουν αὐτοῖς οἱ Λοκροὶ βάλλοντες καὶ ἀκοντίζοντες. 'Ως δ' αὐτῶν οἱ Λακεδαιμόνιοι ὑποστρέψαντες καὶ διώξαντες κατέβαλόν τινας, ἐκ τούτου ὄπισθεν μὲν οὐκέτι ἐπηκολούθουν, ἐκ δὲ τῶν ὑπερδεξίων ἔβαλλον. Οἱ δ' ἐπεχείρησαν μὲν καὶ πρὸς τὸ σιμὸν διώκειν· ἐπεὶ δὲ σκότος τε ἐγίγνετο καὶ ἀποχωροῦντες οἱ μὲν διὰ τὴν δυσχωρίαν ἔπιπτον, οἱ δὲ καὶ διὰ τὸ μὴ προορᾶν τὰ ἔμπροσθεν, οἱ δὲ καὶ ὑπὸ τῶν βελῶν, ἐνταῦθα ἀποθνήσκουσι Γῦλίς τε ὁ πολέμαρχος καὶ τῶν παραστατῶν Πελλῆς, καὶ οἱ πάντες ὡς ὀκτωκαίδεκα τῶν Σπαρτιατῶν, οἱ μὲν καταλευσθέντες, οἱ δὲ καὶ τραυματισθέντες. Εἰ δὲ μὴ ἐβοήθησαν αὐτοῖς ἐκ τοῦ στρατοπέδου δειπνοῦντες, ἐκινδύνευσαν ἂν ἅπαντες ἀπολέσθαι.

Μετὰ τοῦτό γε μὴν ἀφείθη μὲν κατὰ πόλεις τὸ ἄλλο στράτευμα, ἀπέπλευσε δὲ καὶ ὁ 'Αγησίλαος ἐπ' οἴκου.

**18. 'Η Σφαγὴ τῶν ἐν Κορίνθῳ εἰρηνοφίλων. Κατάληψις τῶν τειχῶν τῆς πόλεως ὑπὸ τῶν Λακεδαιμονίων ( 393 π. Χ. )**

( 4, 1 - 14 )

§ 1 'Εκ δὲ τούτου ἐπολέμουν 'Αθηναῖοι μὲν καὶ Βοιωτοὶ καὶ 'Αργεῖοι καὶ οἱ σύμμαχοι αὐτῶν ἐκ Κορίνθου ὁρμώμενοι, Λακεδαιμόνιοι δὲ καὶ οἱ σύμμαχοι ἐκ Σικυῶνος. 'Ορῶντες δ' οἱ Κορίνθιοι ἑαυτῶν μὲν καὶ τὴν χώραν δῃουμένην καὶ ἀποθνήσκοντας διὰ τὸ ἀεὶ τῶν πολεμίων ἐγγὺς εἶναι, τοὺς δ' ἄλ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λους συμμάχους καὶ αὐτοὺς ἐν εἰρήνῃ ὄντας καὶ τὰς χώρας αὐτῶν ἐνεργοὺς οὔσας, οἱ πλεῖστοι καὶ βέλτιστοι αὐτῶν εἰρήνης ἐπεθύμησαν καὶ συνιστάμενοι ἐδίδασκον ταῦτα ἀλλήλους.

Γνόντες δ' οἱ Ἀργεῖοι καὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ § 2 - 3
Κορινθίων οἵ τε τῶν παρὰ βασιλέως χρημάτων μετεσχηκότες καὶ οἱ τοῦ πολέμου αἰτιώτατοι γεγενημένοι, ὡς, εἰ μὴ ἐκποδὼν ποιήσοιντο τοὺς ἐπὶ τὴν εἰρήνην τετραμμένους, κινδυνεύσει πάλιν ἡ πόλις λακωνίσαι, οὕτω δὴ σφαγὰς ἐπεχείρουν ποιεῖσθαι. Καὶ πρῶτον μὲν τὸ πάντων ἀνοσιώτατον ἐβουλεύσαντο· οἱ μὲν γὰρ ἄλλοι, κἂν νόμῳ τις καταγνωσθῇ, οὐκ ἀποκτείνουσιν ἐν ἑορτῇ· ἐκεῖνοι δ' Εὐκλείων τὴν τελευταίαν προείλοντο, ὅτι πλείονας ἂν ᾤοντο λαβεῖν ἐν τῇ ἀγορᾷ, ὥστε ἀποκτεῖναι. Ὡς δ' ἐσημάνθη τούτοις, οἷς εἴρητο, οὓς ἔδει ἀποκτεῖναι, σπασάμενοι τὰ ξίφη ἔπαιον τὸν μέν τινα συνεστηκότα ἐν κύκλῳ τὸν δὲ καθήμενον, τὸν δέ τινα ἐν θεάτρῳ, τὸν δὲ καὶ κριτὴν καθήμενον. Ὡς δὲ ἐγνώσθη τὸ πρᾶγμα, εὐθὺς ἔφευγον οἱ βέλτιστοι, οἱ μὲν πρὸς τὰ ἀγάλματα τῶν ἐν τῇ ἀγορᾷ θεῶν, οἱ δ' ἐπὶ τοὺς βωμούς· ἔνθα δὴ οἱ ἀνοσιώτατοι καὶ παντάπασιν οὐδὲν νόμιμον φρονοῦντες, οἵ τε κελεύοντες καὶ οἱ πειθόμενοι, ἔσφαττον καὶ πρὸς τοῖς ἱεροῖς· ὥστ' ἐνίους καὶ τῶν οὐ τυπτομένων, νομίμων δ' ἀνθρώπων, ἀδημονῆσαι τὰς ψυχὰς ἰδόντας τὴν ἀσέβειαν.

Ἀποθνήσκουσι δ' οὕτω τῶν μὲν πρεσβυτέρων πολλοί· § 4 - 5
μᾶλλον γὰρ ἔτυχον ἐν τῇ ἀγορᾷ ὄντες· οἱ δὲ νεώτεροι, ὑποπτεύσαντος Πασιμήλου τὸ μέλλον ἔσεσθαι, ἡσυχίαν ἔσχον ἐν τῷ Κρανείῳ. Ὡς δὲ τῆς κραυγῆς ᾔσθοντο καὶ φεύγοντές τινες ἐκ τοῦ πράγματος ἀφίκοντο πρὸς αὐτούς, ἐκ τούτου ἀναδραμόντες κατὰ τὸν Ἀκροκόρινθον, προσβαλόντας μὲν Ἀργείους καὶ τοὺς ἄλλους ἀπεκρούσαντο· βουλευομένων δέ, τί χρὴ ποιεῖν, πίπτει τὸ κιονόκρανον ἀπὸ τοῦ κίονος οὔτε σεισμοῦ οὔτε ἀνέμου γενομένου. Καὶ θυομένοις δὲ τοιαῦτα ἦν τὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἱερά, ὥστε οἱ μάντεις ἔφασαν ἄμεινον εἶναι καταβαίνειν ἐκ τοῦ χωρίου. Καὶ τὸ μὲν πρῶτον ὡς φευξόμενοι ἔξω τῆς Κορινθίας ἀπεχώρησαν. Ἐπεὶ δὲ καὶ φίλοι αὐτοὺς ἔπειθον καὶ μητέρες ἰοῦσαι καὶ ἀδελφαί, καὶ αὐτῶν δὲ τῶν ἐν δυνάμει ὄντων τινὲς ὀμνύντες ὑπισχνοῦντο μηδὲν χαλεπὸν αὐτοὺς πείσεσθαι, οὕτω δὴ ἀπῆλθόν τινες οἴκαδε αὐτῶν.

§ 6 - 7 Ὁρῶντες δὲ τοὺς τυραννεύοντας, αἰσθανόμενοι δὲ ἀφανιζομένην τὴν πόλιν διὰ τὸ καὶ ὅρους ἀνεσπάσθαι καὶ Ἄργος ἀντὶ Κορίνθου τὴν πατρίδα αὐτοῖς ὀνομάζεσθαι, καὶ πολιτείας μὲν ἀναγκαζόμενοι τῆς ἐν Ἄργει μετέχειν, ἧς οὐδὲν ἐδέοντο, ἐν δὲ τῇ πόλει μετοίκων ἔλαττον δυνάμενοι, ἐγένοντό τινες αὐτῶν, οἳ ἐνόμισαν οὕτω μὲν ἀβίωτον εἶναι· πειρωμένους δὲ τὴν πατρίδα, ὥσπερ ἦν καὶ ἐξ ἀρχῆς, Κόρινθον ποιεῖσθαι καὶ ἐλευθέραν ἀποδεῖξαι, καὶ τῶν μὲν μιαιφόνων καθαράν, εὐνομίᾳ δὲ χρωμένην, ἄξιον εἶναι, εἰ μὲν δύναιντο καταπρᾶξαι ταῦτα, σωτῆρας γενέσθαι τῆς πατρίδος, εἰ δὲ μὴ δύναιντο, τῶν γε καλλίστων καὶ μεγίστων ἀγαθῶν ὀρεγομένους ἀξιεπαινοτάτης τελευτῆς τυχεῖν· οὕτω δὴ ἐπιχειροῦσιν ἄνδρες δύο, Πασίμηλός τε καὶ Ἀλκιμένης, διαδύντες διὰ χειμάρρου συγγενέσθαι Πραξίτᾳ τῷ Λακεδαιμονίων πολεμάρχῳ, ὃς ἐτύγχανε μετὰ τῆς αὐτοῦ μόρας φρουρῶν ἐν Σικυῶνι, καὶ εἶπον ὅτι δύναιντ' ἂν παρασχεῖν αὐτῷ εἴσοδον εἰς τὰ κατατείνοντα ἐπὶ Λέχαιον τείχη. Ὁ δέ, καὶ πρόσθεν γιγνώσκων τοὺς ἄνδρας ἀξιοπίστους ὄντας, ἐπίστευσε καὶ διαπραξάμενος, ὥστε καὶ τὴν μέλλουσαν ἀπιέναι ἐκ Σικυῶνος μόραν καταμεῖναι, ἔπραττε τὴν εἴσοδον.

§ 8 Ἐπεὶ δὲ οἱ δύο ἄνδρες καὶ κατὰ τύχην καὶ κατ' ἐπιμέλειαν ἐγένοντο φύλακες κατὰ τὰς πύλας ταύτας, ἔνθαπερ τὸ τρόπαιον ἕστηκεν, οὕτω δὴ ἔχων ὁ Πραξίτας ἔρχεται τήν τε μόραν καὶ Σικυωνίους καὶ Κορινθίων, ὅσοι φυγάδες ὄντες ἐτύγχανον. Ἐπεὶ δ' ἦν πρὸς ταῖς πύλαις, φοβούμενος τὴν εἴσο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δον, ἐβουλήθη τῶν πιστῶν ἄνδρα εἰσπέμψαι, σκεψόμενον τὰ ἔνδον. Οἱ δὲ εἰσήγαγον καὶ οὕτως ἁπλῶς ἀπέδειξαν, ὥστε ὁ εἰσελθὼν ἐξήγγειλε πάντα εἶναι ἀδόλως, οἷάπερ ἔλεγον. Ἐκ τούτου δ' εἰσέρχεται.

Ὡς δὲ πολὺ διεχόντων τῶν τειχῶν ἀπ' ἀλλήλων παρατατ- § 9 - 10
τόμενοι ὀλίγοι ἑαυτοῖς ἔδοξαν εἶναι, σταύρωμά τ' ἐποιήσαντο καὶ τάφρον, οἵαν ἐδύναντο πρὸ αὐτῶν, ἕως δὴ οἱ σύμμαχοι βοηθήσοιεν αὐτοῖς. Ἦν δὲ καὶ ὄπισθεν αὐτῶν ἐν τῷ λιμένι Βοιωτῶν φυλακή. Τὴν μὲν οὖν ἐπὶ τῇ νυκτί, ᾗ εἰσῆλθον, ἡμέραν ἄμαχοι διήγαγον· τῇ δ' ὑστεραίᾳ ἧκον οἱ Ἀργεῖοι πασσυδίᾳ βοηθοῦντες· καὶ εὑρόντες τεταγμένους Λακεδαιμονίους μὲν ἐπὶ τῷ δεξιῷ ἑαυτῶν, Σικυωνίους δὲ ἐχομένους, Κορινθίων δὲ τοὺς φυγάδας ὡς πεντήκοντα καὶ ἑκατὸν πρὸς τῷ ἑῴῳ τείχει, ἀντιτάττονται ἐχόμενοι τοῦ ἑῴου τείχους οἱ περὶ Ἰφικράτη μισθοφόροι, πρὸς δὲ τούτοις Ἀργεῖοι· εὐώνυμον δ' εἶχον αὐτοῖς Κορίνθιοι οἱ ἐκ τῆς πόλεως. Καταφρονήσαντες δὲ τῷ πλήθει εὐθὺς ἐχώρουν· καὶ τοὺς μὲν Σικυωνίους ἐκράτησαν καὶ διασπάσαντες τὸ σταύρωμα ἐδίωκον ἐπὶ θάλατταν καὶ ἐκεῖ πολλοὺς αὐτῶν ἀπέκτειναν. Πασίμαχος δὲ ὁ ἱππαρμοστής, ἔχων ἱππέας, οὐ πολλούς, ὡς ἑώρα τοὺς Σικυωνίους πιεζομένους, καταδήσας ἀπὸ δένδρων τοὺς ἵππους καὶ ἀφελόμενος τὰς ἀσπίδας αὐτῶν, μετὰ τῶν ἐθελοντῶν ᾔει ἐναντίον τοῖς Ἀργείοις. Οἱ δὲ Ἀργεῖοι, ὁρῶντες τὰ σίγμα τὰ ἐπὶ τῶν ἀσπίδων, ὡς Σικυωνίους οὐδὲν ἐφοβοῦντο. Ἔνθα δὴ λέγεται, εἰπὼν ὁ Πασίμαχος « Ναὶ τὼ σιώ, Ἀργεῖοι, ψευσεῖ ὑμὲ τὰ σίγμα ταῦτα», χωρεῖν ὁμόσε· καὶ οὕτω μαχόμενος μετ' ὀλίγων πρὸς πολλοὺς ἀποθνήσκει καὶ ἄλλοι τῶν περὶ αὐτόν.

Οἱ μέντοι φυγάδες τῶν Κορινθίων νικῶντες τοὺς καθ' § 11
αὑτοὺς διέδυσαν ἄνω καὶ ἐγένοντο ἐγγὺς τοῦ περὶ τὸ ἄστυ κύκλου· οἱ δ' αὖ Λακεδαιμόνιοι ὡς ᾔσθοντο κρατούμενα τὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κατὰ τοὺς Σικυωνίους, βοηθοῦσιν ἐξελθόντες, ἐν ἀριστερᾷ ἔχοντες τὸ σταύρωμα. Οἵ γε μὴν 'Αργεῖοι ἐπεὶ ἤκουσαν ὄπισθεν ὄντας τοὺς Λακεδαιμονίους, στραφέντες δρόμῳ πάλιν ἐκ τοῦ σταυρώματος ἐξέπιπτον. Καὶ οἱ μὲν ἐν δεξιᾷ ἔσχατοι αὐτῶν παιόμενοι εἰς τὰ γυμνὰ ὑπὸ τῶν Λακεδαιμονίων ἀπέθνησκον, οἱ δὲ πρὸς τῷ τείχει ἀθρόοι σὺν πολλῷ ὄχλῳ πρὸς τὴν πόλιν ἀπεχώρουν. 'Ως δ' ἐνέτυχον τοῖς φυγάσι τῶν Κορινθίων καὶ ἔγνωσαν πολεμίους ὄντας, ἀπέκλιναν πάλιν. 'Ενταῦθα μέντοι οἱ μὲν κατὰ τὰς κλίμακας ἀναβαίνοντες ἥλλοντο κατὰ τοῦ τείχους καὶ διεφθείροντο, οἱ δὲ περὶ τὰς κλίμακας ὠθούμενοι καὶ παιόμενοι ἀπέθνησκον, οἱ δὲ καταπατούμενοι ὑπ' ἀλλήλων ἀπεπνίγοντο.

§ 12 Οἱ δὲ Λακεδαιμόνιοι οὐκ ἠπόρουν, τίνα ἀποκτείνοιεν· ἔδωκε γὰρ τότε γε ὁ θεὸς αὐτοῖς ἔργον, οἷον οὐδ' ηὔξαντό ποτ' ἄν. Τὸ γὰρ ἐγχειρισθῆναι αὐτοῖς πολεμίων πλῆθος πεφοβημένον, ἐκπεπληγμένον, τὰ γυμνὰ παρέχον, ἐπὶ τὸ μάχεσθαι οὐδένα τρεπόμενον, εἰς δὲ τὸ ἀπόλλυσθαι πάντας πάντα ὑπηρετοῦντας, πῶς οὐκ ἄν τις θεῖον ἡγήσαιτο ; Τότε γοῦν οὕτως ἐν ὀλίγῳ πολλοὶ ἔπεσον, ὥστε εἰθισμένοι ὁρᾶν οἱ ἄνθρωποι σωροὺς σίτου, ξύλων, λίθων, τότε ἐθεάσαντο σωροὺς νεκρῶν. 'Απέθανον δὲ καὶ οἱ ἐν τῷ λιμένι τῶν Βοιωτῶν φύλακες, οἱ μὲν ἐπὶ τῶν τειχῶν, οἱ δὲ ἐπὶ τὰ τέγη τῶν νεωσοίκων ἀναβάντες.

§ 13 Μετὰ μὲν τοίνυν τοῦτο οἱ μὲν Κορίνθιοι καὶ 'Αργεῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἀπήγοντο, οἱ δὲ σύμμαχοι τῶν Λακεδαιμονίων ἐβοήθουν. 'Επεὶ δὲ ἠθροίσθησαν, ἔγνω Πραξίτας πρῶτον μὲν τῶν τειχῶν καθελεῖν, ὥστε δίοδον στρατοπέδῳ ἱκανὴν εἶναι, ἔπειτα δ' ἀναλαβὼν τὸ στράτευμα ἦγε τὴν ἐπὶ Μέγαρα· καὶ αἱρεῖ προσβαλὼν πρῶτον μὲν Σιδοῦντα, ἔπειτα δὲ Κρομμυῶνα. Καὶ ἐν τούτοις τοῖς τείχεσι καταστήσας φρουροὺς τοὔμπαλιν ἐπορεύετο· καὶ τειχίσας 'Επιεικίαν, ἵνα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φρούριον εἴη πρὸ τῆς φιλίας τοῖς συμμάχοις, οὕτω διαφῆκε τὸ στράτευμα, καὶ αὐτὸς τὴν ἐπὶ Λακεδαίμονα ἀπεχώρει.

Ἐκ δὲ τούτου στρατιαὶ μὲν μεγάλαι ἑκατέρων διεπέπαυντο, φρουροὺς δὲ πέμπουσαι αἱ πόλεις, αἱ μὲν εἰς Κόρινθον αἱ δὲ εἰς Σικυῶνα ἐφύλαττον τὰ τείχη· μισθοφόρους γε μὴν ἑκάτεροι ἔχοντες διὰ τούτων ἐρρωμένως ἐπολέμουν. § 14

### 19. Νέα ἐκστρατεία τῶν Λακεδαιμονίων ἐναντίον τῆς Κορίνθου. Αἱ περὶ τὸ Λέχαιον συγκρούσεις ( 392 π. Χ. )

( 5, 1 - 19 )

Ἐκ δὲ τούτου Λακεδαιμόνιοι ἀκούοντες τῶν φευγόντων, § 1
ὅτι οἱ ἐν τῇ πόλει πάντα μὲν τὰ βοσκήματα ἔχοιεν καὶ σῴζοιντο ἐν τῷ Πειραίῳ, πολλοὶ δὲ τρέφοιντο αὐτόθεν, στρατεύουσι πάλιν εἰς τὴν Κόρινθον, Ἀγησιλάου καὶ τότε ἡγουμένου. Καὶ πρῶτον μὲν ἦλθεν εἰς Ἰσθμόν· καὶ γὰρ ἦν ὁ μήν, ἐν ᾧ Ἴσθμια γίγνεται καὶ Ἀργεῖοι αὐτοῦ ἐτύγχανον τότε ποιοῦντες τὴν θυσίαν τῷ Ποσειδῶνι, ὡς Ἄργους τῆς Κορίνθου ὄντος. Ὡς δ᾽ ᾔσθοντο προσιόντα τὸν Ἀγησίλαον, καταλιπόντες καὶ τὰ τεθυμένα καὶ τὰ ἀριστοποιούμενα μάλα σὺν πολλῷ φόβῳ ἀπεχώρουν εἰς τὸ ἄστυ κατὰ τὴν ἐπὶ Κεγχρειὰς ὁδόν.

Ὁ μέντοι Ἀγησίλαος ἐκείνους μὲν καίπερ ὁρῶν οὐκ § 2 - 3
ἐδίωκε, κατασκηνήσας δὲ ἐν τῷ ἱερῷ αὐτός τε τῷ θεῷ ἔθυε καὶ περιέμενεν, ἕως οἱ φυγάδες τῶν Κορινθίων ἐποίησαν τῷ Ποσειδῶνι τὴν θυσίαν καὶ τὸν ἀγῶνα. Ἐποίησαν δὲ καὶ οἱ Ἀργεῖοι ἀπελθόντος Ἀγησιλάου ἐξ ἀρχῆς πάλιν Ἴσθμια καὶ ἐκείνῳ τῷ ἔτει τινὰ μὲν ἃ τῶν ἄθλων δὶς ἕκαστος ἐνικήθη, τινὰ δὲ δὶς οἱ αὐτοὶ ἐκηρύχθησαν. Τῇ δὲ τετάρτῃ ἡμέρᾳ ὁ Ἀγησίλαος ἦγε πρὸς τὸ Πείραιον τὸ στράτευμα. Ἰδὼν δὲ ὑπὸ πολλῶν φυλαττόμενον, ἀπεχώρησε μετ᾽ ἄριστον πρὸς τὸ ἄστυ, ὡς προδιδομένης τῆς πόλεως· ὥστε οἱ Κορίνθιοι δείσαντες

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴ προδιδοῖτο ὑπό τινων ἡ πόλις, μετεπέμψαντο τὸν Ἰφικράτη σὺν τοῖς πλείστοις τῶν πελταστῶν. Αἰσθόμενος δὲ ὁ Ἀγησίλαος τῆς νυκτὸς παρεληλυθότας αὐτούς, ὑποστρέψας ἅμα τῇ ἡμέρᾳ εἰς τὸ Πείραιον ἦγε. Καὶ αὐτὸς μὲν κατὰ τὰ θερμὰ προήει, μόραν δὲ κατὰ τὸ ἀκρότατον ἀνεβίβασε. Καὶ ταύτην μὲν τὴν νύκτα ὁ μὲν πρὸς ταῖς θερμαῖς ἐστρατοπεδεύετο, ἡ δὲ μόρα τὰ ἄκρα κατέχουσα ἐνυκτέρευσεν.

§ 4 Ἔνθα δὴ καὶ ὁ Ἀγησίλαος, μικρῷ, καιρίῳ δ' ἐνθυμήματι εὐδοκίμησε· τῶν γὰρ τῇ μόρᾳ φερόντων τὰ σιτία οὐδενὸς πῦρ εἰσενεγκόντος, ψύχους δὲ ὄντος διά τε τὸ πάνυ ἐφ' ὑψηλοῦ εἶναι καὶ διὰ τὸ γενέσθαι ὕδωρ καὶ χάλαζαν πρὸς τὴν ἑσπέραν, καὶ ἀνεβεβήκεσαν δὲ ἔχοντες οἷα δὴ θέρους σπειρία, ῥιγώντων δ' αὐτῶν καὶ ἐν σκότῳ ἀθύμως πρὸς τὸ δεῖπνον ἐχόντων, πέμπει ὁ Ἀγησίλαος οὐκ ἔλαττον δέκα φέροντας πῦρ ἐν χύτραις. Ἐπεὶ δὲ ἀνέβησαν ἄλλος ἄλλῃ καὶ πολλὰ καὶ μεγάλα πυρὰ ἐγένετο ἅτε πολλῆς ὕλης παρούσης, πάντες μὲν ἠλείφοντο, πολλοὶ δὲ καὶ ἐδείπνησαν ἐξ ἀρχῆς. Φανερὸς δὲ ἐγένετο καὶ ὁ νεὼς τοῦ Ποσειδῶνος ταύτῃ τῇ νυκτὶ καόμενος· ὑφ' ὅτου δ' ἐνεπρήσθη, οὐδεὶς οἶδεν.

§ 5 Ἐπεὶ δὲ ᾔσθοντο οἱ ἐν τῷ Πειραίῳ τὰ ἄκρα ἐχόμενα, ἐπὶ μὲν τὸ ἀμύνεσθαι οὐκέτι ἐτράποντο, εἰς δὲ τὸ Ἥραιον κατέφυγον καὶ ἄνδρες καὶ γυναῖκες καὶ δοῦλοι καὶ ἐλεύθεροι καὶ τῶν βοσκημάτων τὰ πλεῖστα. Καὶ Ἀγησίλαος μὲν δὴ σὺν τῷ στρατεύματι παρὰ θάλατταν ἐπορεύετο· ἡ δὲ μόρα ἅμα καταβαίνουσα ἀπὸ τῶν ἄκρων Οἰνόην τὸ ἐντετειχισμένον τεῖχος αἱρεῖ καὶ τὰ ἐνόντα ἔλαβε, καὶ πάντες δὴ οἱ στρατιῶται ἐν ταύτῃ τῇ ἡμέρᾳ πολλὰ τὰ ἐπιτήδεια ἐκ τῶν χωρίων ἐλάμβανον. Οἱ δ' ἐν τῷ Ἡραίῳ καταπεφευγότες ἐξῆσαν, ἐπιτρέψαντες Ἀγησιλάῳ γνῶναι, ὅ,τι βούλοιτο περὶ σφῶν.

§ 6 Ἐκ τούτου δ' ἐξῄει μὲν ἐκ τοῦ Ἡραίου πάμπολλα τὰ αἰχμάλωτα· πρεσβεῖαι δὲ ἄλλοθέν τε πολλαὶ παρῆσαν καὶ ἐκ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Βοιωτῶν ἧκον ἐρησόμενοι, τί ἂν ποιοῦντες εἰρήνης τύχοιεν· ὁ δὲ Ἀγησίλαος μάλα μεγαλοφρόνως τούτους μὲν οὐδ' ὁρᾶν ἐδόκει, καίπερ Φάρακος τοῦ προξένου παρεστηκότος αὐτοῖς, ὅπως προσαγάγοι· καθήμενος δ' ἐπὶ τοῦ περὶ τὴν λίμνην κυκλοτεροῦς οἰκοδομήματος ἐθεώρει πολλὰ τὰ ἐξαγόμενα. Τῶν δὲ Λακεδαιμονίων ἀπὸ τῶν ὅπλων σὺν τοῖς δόρασι παρηκολούθουν φύλακες τῶν αἰχμαλώτων, μάλα ὑπὸ τῶν παρόντων θεωρούμενοι· οἱ γὰρ εὐτυχοῦντες καὶ κρατοῦντες ἀεί πως ἀξιοθέατοι δοκοῦσιν εἶναι.

Ἔτι δὲ καθημένου Ἀγησιλάου καὶ ἐοικότος ἀγαλλομένῳ § 7
τοῖς πεπραγμένοις, ἱππεύς τις προσήλαυνε καὶ μάλα ἰσχυρῶς ἱδρῶντι τῷ ἵππῳ· ὑπὸ πολλῶν δὲ ἐρωτώμενος, ὅ,τι, ἀγγέλλοι, οὐδενὶ ἀπεκρίνατο, ἀλλ' ἐπειδὴ ἐγγὺς ἦν τοῦ Ἀγησιλάου, καθαλάμενος ἀπὸ τοῦ ἵππου καὶ προσδραμὼν αὐτῷ μάλα σκυθρωπὸς ὢν λέγει τὸ τῆς ἐν Λεχαίῳ μόρας πάθος. Ὁ δ' ὡς ἤκουσεν, εὐθύς τε ἐκ τῆς ἕδρας ἀνεπήδησε καὶ τὸ δόρυ ἔλαβε καὶ πολεμάρχους καὶ πεντηκοντῆρας καὶ ξεναγοὺς καλεῖν τὸν κήρυκα ἐκέλευεν· Ὡς δὲ συνέδραμον οὗτοι, τοῖς μὲν ἄλλοις εἶπεν, ( οὐ γὰρ πω ἠριστοποίηντο ), ἐμφαγοῦσιν ὅ,τι δύναιντο, ἥκειν τὴν ταχίστην, αὐτὸς δὲ σὺν τοῖς περὶ δαμοσίαν ὑφηγεῖτο ἀνάριστος· καὶ οἱ δορυφόροι τὰ ὅπλα ἔχοντες παρηκολούθουν σπουδῇ, τοῦ μὲν ὑφηγουμένου, τῶν δὲ μετιόντων.

Ἤδη δὲ ἐκπεπερακότος αὐτοῦ τὰ θερμὰ εἰς τὸ πλατὺ τοῦ § 8
Λεχαίου, προσελάσαντες ἱππεῖς τρεῖς ἀγγέλλουσιν, ὅτι οἱ νεκροὶ ἀνῃρημένοι εἴησαν. Ὁ δ' ἐπεὶ τοῦτο ἤκουσε, θέσθαι κελεύσας τὰ ὅπλα καὶ ὀλίγον χρόνον ἀναπαύσας, ἀπῆγε πάλιν τὸ στράτευμα ἐπὶ τὸ Ἥραιον. Τῇ δὲ ὑστεραίᾳ τὰ αἰχμάλωτα διετίθεντο.

Οἱ δὲ πρέσβεις τῶν Βοιωτῶν προσκληθέντες καὶ ἐρωτώ- § 9
μενοι, ὅ,τι ἥκοιεν, περὶ μὲν τῆς εἰρήνης οὐκέτι ἐμέμνηντο, εἶπον δέ, ὅτι, εἰ μή τι κωλύοι, βούλοιντο εἰς ἄστυ πρὸς τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σφετέρους στρατιώτας παρελθεῖν. Ὁ δ' ἐπιγελάσας « Ἀλλ' οἶδα μέν», ἔφη, « ὅτι οὐ τοὺς στρατιώτας ἰδεῖν βούλεσθε, ἀλλὰ τὸ εὐτύχημα τῶν φίλων ὑμῶν θεάσασθαι, πόσον τι γεγένηται. Περιμείνατε οὖν », ἔφη, « ἐγὼ γὰρ αὐτὸς ἄξω καὶ μᾶλλον μετ' ἐμοῦ ὄντες γνώσεσθε, ποῖόν τι τὸ γεγενημένον ἐστί ». Καὶ οὐκ ἐψεύσατο, ἀλλὰ τῇ ὑστεραίᾳ θυσάμενος ἦγε πρὸς τὴν πόλιν τὸ στράτευμα. Καὶ τὸ μὲν τρόπαιον οὐ κατέβαλεν, εἰ δέ τι ἦν λοιπὸν δένδρον, κόπτων καὶ κάων ἐπεδείκνυ, ὡς οὐδεὶς ἀντεξῄει. Ταῦτα δὲ ποιήσας ἐστρατοπεδεύσατο περὶ Λέχαιον· καὶ τοὺς Θηβαίους μέντοι πρέσβεις εἰς μὲν τὸ ἄστυ οὐκ ἀνῆκε, κατὰ θάλατταν δὲ εἰς Κρεῦσιν ἀπέπεμψεν.

§ 10 Ἅτε δὲ ἀήθους τοῖς Λακεδαιμονίοις γεγενημένης τῆς τοιαύτης συμφορᾶς, πολὺ πένθος ἦν κατὰ τὸ Λακωνικὸν στράτευμα, πλὴν ὅσων ἐτέθνασαν ἐν χώρᾳ ἢ υἱοὶ ἢ πατέρες ἢ ἀδελφοί· οὗτοι δ' ὥσπερ νικηφόροι λαμπροὶ καὶ ἀγαλλόμενοι τῷ οἰκείῳ πάθει περιῇσαν. Ἐγένετο δὲ τὸ τῆς μόρας πάθος τοιῷδε τρόπῳ.

§ 11 - 12 Οἱ Ἀμυκλαῖοι ἀείποτε ἀπέρχονται εἰς τὰ Ὑακίνθια ἐπὶ τὸν παιᾶνα, ἐάν τε στρατοπεδευόμενοι τυγχάνωσιν, ἐάν τε ἄλλως πως ἀποδημοῦντες. Καὶ τότε δὴ τοὺς ἐκ τῆς στρατιᾶς Ἀμυκλαίους κατέλιπε μὲν Ἀγησίλαος ἐν Λεχαίῳ· ὁ δ' ἐκεῖ φρουρῶν πολέμαρχος τοὺς μὲν ἀπὸ τῶν συμμάχων φρουροὺς ἔταξε φυλάττειν τὸ τεῖχος, αὐτὸς δὲ σὺν τῇ τῶν ὁπλιτῶν καὶ τῇ τῶν ἱππέων μόρᾳ παρὰ τὴν πόλιν τῶν Κορινθίων τοὺς Ἀμυκλαίους παρῆγεν. Ἐπεὶ δὲ ἀπεῖχον ὅσον εἴκοσιν ἢ τριάκοντα σταδίους τοῦ Σικυῶνος, ὁ μὲν πολέμαρχος σὺν τοῖς ὁπλίταις, οὖσιν ὡς ἑξακοσίοις, ἀπῄει πάλιν ἐπὶ τὸ Λέχαιον, τὸν δ' ἱππαρμοστὴν ἐκέλευσε σὺν τῇ τῶν ἱππέων μόρᾳ, ἐπεὶ προπέμψειαν τοὺς Ἀμυκλαίους, μέχρι ὁπόσου αὐτοὶ κελεύοιεν, μεταδιώκειν. Καὶ ὅτι μὲν πολλοὶ ἦσαν ἐν τῇ Κορίνθῳ καὶ πελτασταὶ καὶ ὁπλῖται, οὐδὲν ἠγνόουν· κατε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φρόνουν δὲ διὰ τὰς ἔμπροσθεν τύχας μηδένα ἂν ἐπιχειρῆσαι σφίσιν.

Οἱ δ' ἐκ τῶν Κορινθίων τοῦ ἄστεως, Καλλίας τε ὁ Ἱπ- § 13 πονίκου, τῶν Ἀθηναίων ὁπλιτῶν στρατηγῶν, καὶ Ἰφικράτης, τῶν πελταστῶν ἄρχων, καθορῶντες αὐτοὺς καὶ οὐ πολλοὺς ὄντας καὶ ἐρήμους καὶ πελταστῶν καὶ ἱππέων, ἐνόμισαν ἀσφαλὲς εἶναι ἐπιθέσθαι αὐτοῖς τῷ πελταστικῷ. Εἰ μὲν γὰρ πορεύοιντο τῇ ὁδῷ, ἀκοντιζομένους ἂν αὐτοὺς εἰς τὰ γυμνὰ ἀπόλλυσθαι· εἰ δ' ἐπιχειροῖεν διώκειν, ῥᾳδίως ἂν ἀποφυγεῖν πελτασταῖς τοῖς ἐλαφροτάτοις τοὺς ὁπλίτας. Γνόντες δὲ ταῦτα ἐξάγουσι.

Καὶ ὁ μὲν Καλλίας παρέταξε τοὺς ὁπλίτας οὐ πόρρω § 14 - 15 τῆς πόλεως, ὁ δὲ Ἰφικράτης λαβὼν τοὺς πελταστὰς ἐπέθετο τῇ μόρᾳ. Οἱ δὲ Λακεδαιμόνιοι ἐπεὶ ἠκοντίζοντο καὶ ὁ μέν τις ἐτέτρωτο ὁ δὲ καὶ ἐπεπτώκει, τούτους μὲν ἐκέλευον τοὺς ὑπασπιστὰς ἀραμένους ἀποφέρειν εἰς Λέχαιον· καὶ οὗτοι μόνοι τῆς μόρας τῇ ἀληθείᾳ ἐσώθησαν· ὁ δὲ πολέμαρχος ἐκέλευσε τὰ δέκα ἀφ' ἥβης ἀποδιῶξαι τοὺς προειρημένους. Ὡς δὲ ἐδίωκον, ᾕρουν τε οὐδένα ἐξ ἀκοντίου βολῆς ὁπλῖται ὄντες πελταστάς· καὶ γὰρ ἀναχωρεῖν αὐτοὺς ἐκέλευε, πρὶν τοὺς ὁπλίτας ὁμοῦ γίγνεσθαι· ἐπεὶ δὲ ἀνεχώρουν ἐσπαρμένοι, ἅτε διώξαντες ὡς τάχους ἕκαστος εἶχεν, ἀναστρέφοντες οἱ περὶ τὸν Ἰφικράτη, οἵ τε ἐκ τοῦ ἐναντίου πάλιν ἠκόντιζον καὶ ἄλλοι ἐκ πλαγίου παραθέοντες εἰς τὰ γυμνά. Καὶ εὐθὺς μὲν ἐπὶ τῇ πρώτῃ διώξει κατηκόντιζον ἐννέα ἢ δέκα αὐτῶν. Ὡς δὲ τοῦτο ἐγένετο, πολὺ ἤδη θρασύτερον ἐπέκειντο.

Ἐπεὶ δὲ κακῶς ἔπασχον, πάλιν ἐκέλευσεν ὁ πολέμαρχος § 16 διώκειν τὰ πεντεκαίδεκα ἀφ' ἥβης. Ἀναχωρούντων δὲ ἔτι πλείονες αὐτῶν ἢ τὸ πρῶτον ἔπεσον. Ἤδη δὲ τῶν βελτίστων ἀπολωλότων, οἱ ἱππεῖς αὐτοῖς παραγίγνονται καὶ σὺν τούτοις αὖθις δίωξιν ἐποιήσαντο. Ὡς δὲ ἐνέκλιναν οἱ πελτασταί, ἐν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τούτῳ κακῶς οἱ ἱππεῖς ἐπέθεντο· οὐ γάρ, ἕως ἀπέκτεινάν τινας αὐτῶν, ἐδίωξαν, ἀλλὰ σὺν τοῖς ἐκδρόμοις ἰσομέτωποι καὶ ἐδίωκον καὶ ἐπέστρεφον. Ποιοῦντες δὲ καὶ πάσχοντες τὰ ὅμοια τούτοις καὶ αὖθις, αὐτοὶ μὲν ἀεὶ ἐλάττους τε καὶ μαλακώτεροι ἐγίγνοντο, οἱ δὲ πολέμιοι θρασύτεροί τε καὶ ἀεὶ πλείους οἱ ἐγχειροῦντες. Ἀποροῦντες δὴ συνίστανται ἐπὶ βραχύν τινα γήλοφον, ἀπέχοντα τῆς μὲν θαλάττης ὡς δύο στάδια, τοῦ δὲ Λεχαίου ὡς ἓξ ἢ ἑπτακαίδεκα.

§ 17 Αἰσθόμενοι δ' οἱ ἀπὸ τοῦ Λεχαίου, εἰσβάντες εἰς πλοιάρια παρέπλεον, ἕως ἐγένοντο κατὰ τὸν γήλοφον. Οἱ δ' ἀποροῦντες ἤδη, ὅτι ἔπασχον μὲν κακῶς καὶ ἀπέθνῃσκον, ποιεῖν δὲ οὐδὲν ἐδύναντο, πρὸς τούτοις δὲ ὁρῶντες καὶ τοὺς ὁπλίτας ἐπιόντας, ἐγκλίνουσι. Καὶ οἱ μὲν ἐμπίπτουσιν αὐτῶν εἰς τὴν θάλατταν, ὀλίγοι δέ τινες μετὰ τῶν ἱππέων εἰς Λέχαιον ἐσώθησαν. Ἐν πάσαις δὲ ταῖς μάχαις καὶ τῇ φυγῇ ἀπέθανον περὶ πεντήκοντα καὶ διακοσίους. Καὶ ταῦτα μὲν οὕτως ἐπέπρακτο.

§ 18 - 19 Ἐκ δὲ τούτου ὁ Ἀγησίλαος τὴν μὲν σφαλεῖσαν μόραν ἔχων ἀπῄει, ἄλλην δὲ κατέλιπεν ἐν τῷ Λεχαίῳ. Διιὼν δὲ ἐπ' οἴκου ὡς μὲν ἐδύνατο ὀψιαίτατα κατήγετο εἰς τὰς πόλεις, ὡς δ' ἐδύνατο πρῳαίτατα ἐξωρμᾶτο. Παρὰ δὲ Μαντίνειαν ἐξ Ὀρχομενοῦ ὄρθρου ἀναστὰς ἔτι σκοταῖος παρῆλθεν. Οὕτω χαλεπῶς ἂν ἐδόκουν οἱ στρατιῶται τοὺς Μαντινέας ἐφηδομένους τῷ δυστυχήματι θεάσασθαι. Ἐκ τούτου δὲ μάλα καὶ τἆλλα ἐπετύγχανεν Ἰφικράτης. Καθεστηκότων γὰρ φρουρῶν ἐν Σιδοῦντι μὲν καὶ Κρομμυῶνι ὑπὸ Πραξίτα, ὅτε ἐκεῖνος εἷλε ταῦτα τὰ τείχη, ἐν Οἰνόῃ δὲ ὑπὸ Ἀγησιλάου, ὅτεπερ τὸ Πείραιον ἑάλω, πάνθ' εἷλε ταῦτα τὰ χωρία. Τὸ μέντοι Λέχαιον ἐφρούρουν οἱ Λακεδαιμόνιοι καὶ οἱ σύμμαχοι. Οἱ φυγάδες δὲ τῶν Κορινθίων, οὐκέτι πεζῇ παριόντες ἐκ Σικυῶνος διὰ τὴν τῆς μόρας δυστυχίαν, ἀλλὰ παραπλέοντες καὶ ἐντεῦθεν ὁρμώμενοι πράγματα εἶχόν τε καὶ παρεῖχον τοῖς ἐν τῷ ἄστει·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## Γ. Ο ΚΑΤΑ ΘΑΛΑΣΣΑΝ ΑΓΩΝ

### 20. Ἐπιδρομὴ τοῦ Κόνωνος κατὰ τῆς Πελοποννήσου. Ἀνοικοδόμησις τῶν τειχῶν τῶν Ἀθηνῶν ( 393 π. Χ. ).

( 8, 1-3, 6-11 )

Καὶ ὁ μὲν δὴ κατὰ γῆν πόλεμος οὕτως ἐπολεμεῖτο. Ἐν ᾧ δὲ πάντα ταῦτα ἐπράττετο, τὰ κατὰ θάλατταν αὖ καὶ τὰς πρὸς θαλάττῃ πόλεις γενόμενα διηγήσομαι, καὶ τῶν πράξεων τὰς μὲν ἀξιομνημονεύτους γράψω, τὰς δὲ μὴ ἀξίας λόγου ἀφήσω. Πρῶτον μὲν τοίνυν Φαρνάβαζος καὶ Κόνων, ἐπεὶ ἐνίκησαν τοὺς Λακεδαιμονίους τῇ ναυμαχίᾳ, περιπλέοντες καὶ τὰς νήσους καὶ τὰς ἐπιθαλαττιδίας πόλεις τούς τε Λακωνικοὺς ἁρμοστὰς ἐξήλαυνον καὶ παρεμυθοῦντο τὰς πόλεις, ὡς οὔτε ἀκροπόλεις ἐντειχιοῖεν ἐάσοιέν τε αὐτονόμους. Οἱ δ' ἀκούοντες ταῦτα ἥδοντό τε καὶ ἐπῄνουν καὶ ξένια προθύμως ἔπεμπον τῷ Φαρναβάζῳ. Καὶ γὰρ ὁ Κόνων τὸν Φαρνάβαζον ἐδίδασκεν, ὡς οὕτω μὲν ποιοῦντι πᾶσαι αὐτῷ αἱ πόλεις φίλιαι ἔσοιντο, εἰ δὲ δουλοῦσθαι βουλόμενος φανερὸς ἔσοιτο, ἔλεγεν, ὡς μία ἑκάστη πολλὰ πράγματα ἱκανὴ εἴη παρέχειν καὶ κίνδυνος εἴη, μὴ καὶ οἱ Ἕλληνες, εἰ ταῦτα αἴσθοιντο, συσταῖεν. Ταῦτα μὲν οὖν ἐπείθετο Φαρνάβαζος. § 1 - 2

Ἀποβὰς δ' εἰς Ἔφεσον τῷ μὲν Κόνωνι δοὺς τετταράκοντα τριήρεις εἰς Σηστὸν εἶπεν ἀπαντᾶν, αὐτὸς δὲ πεζῇ ἀπῄει ἐπὶ τὴν αὑτοῦ ἀρχήν. Καὶ γὰρ ὁ Δερκυλίδας, ὅσπερ καὶ πάλαι πολέμιος ἦν αὐτῷ, ἔτυχεν ἐν Ἀβύδῳ ὤν, ὅτε ἡ ναυμαχία ἐγένετο, καὶ οὐχ ὥσπερ οἱ ἄλλοι ἁρμοσταὶ ἐξέλιπεν, ἀλλὰ κατέσχε τὴν Ἄβυδον καὶ διέσῳζε φίλην τοῖς Λακεδαιμονίοις. § 3

Ὁ δὲ Φαρνάβαζος ἐπεὶ ηὗρε τήν τε Ἄβυδον καὶ τὸν Σηστὸν οὕτως ἔχοντα, προηγόρευεν αὐτοῖς, ὡς, εἰ μὴ ἐκπέμψοιεν τοὺς Λακεδαιμονίους, πόλεμον ἐξοίσει πρὸς αὐτούς. Ἐπεὶ δὲ οὐκ ἐπείθοντο, Κόνωνι μὲν προσέταξε κωλύειν αὐτοὺς τὴν § 6

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θάλατταν πλεῖν, αὐτὸς δὲ ἐδῄου τὴν τῶν 'Αβυδηνῶν χώραν. 'Επεὶ δὲ οὐδὲν ἐπέραινε πρὸς τὸ καταστρέφεσθαι, αὐτὸς μὲν ἐπ' οἴκου ἐπῆλθε, τὸν δὲ Κόνωνα ἐκέλευεν εὐτρεπίζεσθαι τὰς καθ' 'Ελλήσποντον πόλεις, ὅπως εἰς τὸ ἔαρ ὅ,τι πλεῖστον ναυτικὸν ἀθροισθείη. 'Οργιζόμενος γὰρ τοῖς Λακεδαιμονίοις ἀνθ' ὧν ἐπεπόνθει, περὶ παντὸς ἐποιεῖτο ἐλθεῖν τε εἰς τὴν χώραν αὐτῶν καὶ τιμωρήσασθαι ὅ,τι δύναιτο.

§ 7 - 8 Καὶ τὸν μὲν χειμῶνα ἐν τούτοις ὄντες διῆγον. Ἅμα δὲ τῷ ἔαρι ναῦς τε πολλὰς συμπληρώσας καὶ ξενικὸν προσμισθωσάμενος, ἔπλευσεν ὁ Φαρνάβαζός τε καὶ ὁ Κόνων μετ' αὐτοῦ διὰ νήσων εἰς Μῆλον, ἐκεῖθεν δὲ ὁρμώμενοι εἰς τὴν Λακεδαίμονα. Καταπλεύσας δὲ πρῶτον εἰς Φαρὰς ἐδῄωσε ταύτην τὴν χώραν· ἔπειτα καὶ ἄλλοτε ἀποβαίνων τῆς παραθαλαττίας ἐκακούργει ὅ,τι ἐδύνατο· φοβούμενος δὲ τήν τε ἀλιμενότητα τῆς χώρας καὶ τὰ τῆς βοηθείας καὶ τὴν σπανοσιτίαν, ταχύ τε ἀνέστρεψε καὶ ἀποπλέων ὡρμίσθη τῆς Κυθηρίας εἰς Φοινικοῦντα. 'Επεὶ δὲ οἱ ἔχοντες τὴν πόλιν τῶν Κυθηρίων φοβηθέντες, μὴ κατὰ κράτος ἁλοῖεν, ἐξέλιπον τὰ τείχη, ἐκείνους μὲν ὑποσπόνδους ἀφῆκεν εἰς τὴν Λακωνικήν, αὐτὸς δ' ἐπισκευάσας τὸ τῶν Κυθηρίων τεῖχος φρουρούς τε καὶ Νικόφημον 'Αθηναῖον ἁρμοστὴν ἐν τοῖς Κυθήροις κατέλιπε. Ταῦτα δὲ ποιήσας καὶ εἰς 'Ισθμὸν τῆς Κορινθίας καταπλεύσας καὶ παρακελευσάμενος τοῖς συμμάχοις προθύμως τε πολεμεῖν καὶ ἄνδρας πιστοὺς φαίνεσθαι βασιλεῖ, καταλιπὼν αὐτοῖς χρήματα ὅσα εἶχεν, ᾤχετο ἐπ' οἴκου ἀποπλέων.

§ 9 - 10 Λέγοντος δὲ τοῦ Κόνωνος, ὡς, εἰ ἐῴη αὐτὸν ἔχειν τὸ ναυτικόν, θρέψοι μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ' εἰς τὴν πατρίδα συναναστήσοι τά τε μακρὰ τείχη τοῖς 'Αθηναίοις καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος, οὗ εἰδέναι ἔφη, ὅτι Λακεδαιμονίοις οὐδὲν ἂν βαρύτερον γένοιτο, « καὶ τοῦτο οὖν », ἔφη, « σὺ τοῖς μὲν 'Αθηναίοις κεχαρισμένος ἔσει, τοὺς δὲ Λακεδαι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μονίοις τετιμωρημένος· ἐφ' ᾧ γὰρ πλεῖστα ἐπόνησαν, ἀτελὲς αὐτοῖς ποιήσεις », ὁ Φαρνάβαζος ἀκούσας ταῦτα ἀπέστειλεν αὐτὸν προθύμως εἰς τὰς Ἀθήνας καὶ χρήματα προσέθηκεν αὐτῷ εἰς τὸν ἀνατειχισμόν. Ὁ δὲ ἀφικόμενος πολὺ τοῦ τείχους ὤρθωσε, τά τε αὐτοῦ πληρώματα παρέχων καὶ τέκτοσι καὶ λιθολόγοις μισθὸν διδοὺς καὶ ἄλλο, εἴ τι ἀναγκαῖον ἦν, δαπανῶν. Τινὰ μέντοι τοῦ τείχους καὶ αὐτοὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ ἄλλαι πόλεις ἐθελούσιαι συνετείχισαν.

Οἱ μέντοι Κορίνθιοι, ἀφ' ὧν Φαρνάβαζος κατέλιπε χρη- § 11
μάτων, ναῦς πληρώσαντες και Ἀγαθῖνον ναύαρχον ἐπιστήσαντες ἐθαλαττοκράτουν ἐν τῷ περὶ Ἀχαΐαν καὶ Λέχαιον κόλπῳ. Ἀντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναῦς, ὧν Ποδάνεμος ἦρχεν. Ἐπεὶ δὲ οὗτος ἐν προσβολῇ τινι γενομένῃ ἀπέθανε καὶ Πόλλις αὖ ἐπιστολεὺς ὢν τρωθεὶς ἀπῆλθεν, Ἡριππίδας ταύτας ἀναλαμβάνει τὰς ναῦς. Πρόαινος μέντοι Κορίνθιος τὰς παρ' Ἀγαθίνου παραλαβὼν ναῦς ἐξέλιπε τὸ Ῥίον· Λακεδαιμόνιοι δ' αὐτὸ παρέλαβον. Μετὰ δὲ τοῦτο Τελευτίας ἐπὶ τὰς Ἡριππίδου ναῦς ἦλθε καὶ οὗτος αὖ τοῦ κόλπου πάλιν ἐκράτει.

### 21. Ἀποστολὴ τοῦ Ἀνταλκίδου εἰς Μ. Ἀσίαν. Διαπραγματεύσεις μετὰ τοῦ βασιλέως τῶν Περσῶν περὶ εἰρήνης.

( **8**, 12 - 16 )

Οἱ δὲ Λακεδαιμόνιοι ἀκούοντες, ὅτι Κόνων καὶ τὸ τεῖ- § 12 - 13
χος τοῖς Ἀθηναίοις ἐκ τῶν βασιλέως χρημάτων ἀνορθοίη καὶ τὸ ναυτικὸν ἀπὸ τῶν ἐκείνου τρέφων τάς τε νήσους καὶ τὰς ἐν τῇ ἠπείρῳ παρὰ θάλατταν πόλεις Ἀθηναίοις εὐτρεπίζοι, ἐνόμισαν, εἰ ταῦτα διδάσκοιεν Τιρίβαζον βασιλέως ὄντα στρατηγόν, ἢ καὶ ἀποστῆσαι ἂν πρὸς ἑαυτοὺς τὸν Τιρίβαζον ἢ παῦσαί γ' ἂν τὸ Κόνωνος ναυτικὸν τρέφοντα. Γνόντες δὲ οὕτω, πέμπουσιν Ἀνταλκίδαν πρὸς τὸν Τιρίβαζον, προστά-



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ξαντες αὐτῷ ταῦτα διδάσκειν καὶ πειρᾶσθαι εἰρήνην τῇ πόλει ποιεῖσθαι πρὸς βασιλέα. Αἰσθόμενοι δὲ ταῦτα οἱ 'Αθηναῖοι ἀντιπέμπουσι πρέσβεις μετὰ Κόνωνος Ἑρμογένη καὶ Δίωνα καὶ Καλλισθένη καὶ Καλλιμέδοντα. Συμπαρεκάλεσαν δὲ καὶ ἀπὸ τῶν συμμάχων πρέσβεις καὶ παρεγένοντο ἀπό τε Βοιωτῶν καὶ Κορίνθου καὶ Ἄργους.

§ 14 'Επεὶ δ' ἐκεῖ ἦσαν, ὁ μὲν 'Ανταλκίδας ἔλεγε πρὸς τὸν Τιρίβαζον, ὅτι εἰρήνης δεόμενος ἥκοι τῇ πόλει πρὸς βασιλέα καὶ ταύτης οἵασπερ βασιλεὺς ἐπεθύμει· τῶν τε γὰρ ἐν τῇ 'Ασίᾳ Ἑλληνίδων πόλεων Λακεδαιμονίους βασιλεῖ οὐκ ἀντιποιεῖσθαι τάς τε νήσους ἁπάσας καὶ τὰς ἄλλας πόλεις ἀρκεῖν σφίσιν αὐτονόμους εἶναι. « Καίτοι », ἔφη, « τοιαῦτα ἐθελόντων ἡμῶν, τίνος ἂν ἕνεκα πρὸς ἡμᾶς βασιλεὺς πολεμοίη ἢ χρήματα δαπανῴη ; καὶ γὰρ οὐδ' ἐπὶ βασιλέα στρατεύεσθαι δυνατὸν οὔτε 'Αθηναίοις, μὴ ἡγουμένων ἡμῶν, οὔθ' ἡμῖν, αὐτονόμων οὐσῶν τῶν πόλεων ».

§ 15 Τῷ μὲν δὴ Τιριβάζῳ ἀκούοντι ἰσχυρῶς ἤρεσκον οἱ τοῦ 'Ανταλκίδου λόγοι· τοῖς δὲ ἐναντίοις λόγοι ταῦτ' ἦν· οἵ γε γὰρ 'Αθηναῖοι ἐφοβοῦντο συνθέσθαι αὐτονόμους εἶναι τὰς νήσους, μὴ Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου στερηθεῖεν, οἵ τε Θηβαῖοι, μὴ ἀναγκασθείησαν ἀφεῖναι τὰς Βοιωτίας πόλεις αὐτονόμους, οἵ τ' 'Αργεῖοι, οὗ ἐπεθύμουν, οὐκ ἐνόμιζον ἂν τὴν Κόρινθον δύνασθαι ὡς Ἄργος ἔχειν τοιούτων συνθηκῶν καὶ σπονδῶν γενομένων. Αὕτη μὲν ἡ εἰρήνη οὕτως ἐγένετο ἀτελής, καὶ ἀπῆλθον οἴκαδε ἕκαστος.

§ 16 Ὁ μέντοι Τιρίβαζος τὸ μὲν ἄνευ βασιλέως μετὰ Λακεδαιμονίων γενέσθαι οὐκ ἀσφαλὲς αὐτῷ ἡγεῖτο εἶναι. Λάθρᾳ γε μέντοι ἔδωκε χρήματα 'Ανταλκίδᾳ, ὅπως ἂν πληρωθέντος ναυτικοῦ ὑπὸ Λακεδαιμονίων οἵ τε 'Αθηναῖοι καὶ οἱ σύμμαχοι αὐτῶν μᾶλλον τῆς εἰρήνης προσδέοιντο, καὶ τὸν Κόνωνα ὡς ἀδικοῦντά τε βασιλέα καὶ ἀληθῆ λεγόντων Λακεδαιμο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νίων εἶρξε. Ταῦτα δὲ ποιήσας ἀνέβαινε πρὸς βασιλέα φράσων, ἅ τε λέγοιεν οἱ Λακεδαιμόνιοι καὶ ὅτι Κόνωνα συνειληφὼς εἴη ὡς ἀδικοῦντι καὶ ἐρωτήσων, τί χρὴ ποιεῖν περὶ τούτων ἁπάντων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ

### Α. Η ΑΝΤΑΛΚΙΔΕΙΟΣ ΕΙΡΗΝΗ (387 π.Χ.)

#### 22. Ἀποδοχὴ τῶν προτάσεων τῆς εἰρήνης παρὰ τῶν Ἀθηναίων καὶ τῶν συμμάχων.

(**1**, 25 - 36)

§ 25 - 26 Ὁ δὲ Ἀνταλκίδας κατέβη μὲν μετὰ Τιριβάζου διαπεπραγμένος συμμαχεῖν βασιλέα, εἰ μὴ ἐθέλοιεν Ἀθηναῖοι καὶ οἱ σύμμαχοι χρῆσθαι τῇ εἰρήνῃ, ᾗ αὐτὸς ἔλεγεν· ὡς δ' ἤκουσε Νικόλοχον σὺν ταῖς ναυσὶ πολιορκεῖσθαι ἐν Ἀβύδῳ ὑπὸ Ἰφικράτους καὶ Διοτίμου, πεζῇ ᾤχετο εἰς Ἄβυδον. Ἐκεῖθεν δὲ λαβὼν τὸ ναυτικὸν ἀνήγετο, διασπείρας λόγον ὡς μεταπεμπομένων τῶν Καλχηδονίων· ὁρμισάμενος δὲ ἐν Περκώτῃ ἡσυχίαν εἶχεν. Αἰσθόμενοι δὲ οἱ περὶ Δημαίνετον καὶ Διονύσιον καὶ Λεόντιχον καὶ Φανίαν ἐδίωκον αὐτὴν τὴν ἐπὶ Προκοννήσου. Ὁ δ', ἐπεὶ ἐκεῖνοι παρέπλευσαν, ὑποστρέψας εἰς Ἄβυδον ἀφίκετο· ἠκηκόει γάρ, ὅτι προσπλέοι Πολύξενος ἄγων τὰς ἀπὸ Συρακουσῶν καὶ Ἰταλίας ναῦς εἴκοσιν, ὅπως ἀναλάβοι καὶ ταύτας.

§ 27 Ἐκ δὲ τούτου Θρασύβουλος ὁ Κολλυτεὺς ἔχων ναῦς ὀκτὼ ἔπλει ἀπὸ Θρᾴκης, βουλόμενος ταῖς ἄλλαις ἀττικαῖς ναυσὶ συμμεῖξαι. Ὁ δὲ Ἀνταλκίδας, ἐπεὶ αὐτῷ οἱ σκοποὶ ἐσήμηναν, ὅτι προσπλέοιεν τριήρεις ὀκτώ, ἐμβιβάσας τοὺς ναύτας εἰς δώδεκα ναῦς τὰς ἄριστα πλεούσας καὶ προσπληρώσασθαι κελεύσας, εἴ τις ἐνεδεῖτο, ἐκ τῶν καταλειπομένων, ἐνήδρευεν, ὡς ἐδύνατο ἀφανέστατα. Ἐπεὶ δὲ παρέπλεον, ἐδίωκεν· οἱ δὲ ἰδόντες ἔφευγον. Τὰς μὲν οὖν βραδύτατα πλεούσας ταῖς ἄριστα πλεούσαις ταχὺ κατειλήφει· παραγγείλας δὲ τοῖς πρωτό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πλοις τῶν μεθ' αὑτοῦ μὴ ἐμβαλεῖν ταῖς ὑστάταις, ἐδίωκε τὰς προεχούσας· ἐπεὶ δὲ ταύτας ἔλαβεν, ἰδόντες οἱ ὕστεροι ἁλισκομένους σφῶν αὐτῶν τοὺς πρόπλους ὑπ' ἀθυμίας καὶ τῶν βραδυτέρων ἡλίσκοντο. Ὥσθ' ἥλωσαν ἅπασαι.

Ἐπεὶ δ' ἦλθον αὐτῷ αἵ τε ἐκ Συρακουσῶν νῆες εἴκοσιν, § 28
ἦλθον δὲ καὶ αἱ ἀπὸ Ἰωνίας, ὅσης ἐγκρατὴς ἦν Τιρίβαζος, συνεπληρώθησαν δὲ καὶ ἐκ τῆς Ἀριοβαρζάνους, ( καὶ γὰρ ἦν ξένος ἐκ παλαιοῦ τῷ Ἀριοβαρζάνει ), ὁ δὲ Φαρνάβαζος ἤδη ἀνακεκλημένος ᾤχετο ἄνω, ὅτε δὴ καὶ ἠγάγετο γυναῖκα τὴν βασιλέως θυγατέρα, ὁ Ἀνταλκίδας γενομέναις ταῖς πάσαις ναυσὶ πλείοσιν ἢ ὀγδοήκοντα ἐκράτει τῆς θαλάττης· ὥστε καὶ τὰς ἐκ τοῦ Πόντου ναῦς Ἀθήναζε μὲν ἐκώλυε καταπλεῖν, εἰς δὲ τοὺς ἑαυτῶν συμμάχους κατῆγεν.

Οἱ μὲν οὖν Ἀθηναῖοι, ὁρῶντες μὲν πολλὰς τὰς πολεμίας § 29 - 30
ναῦς, φοβούμενοι δέ, μὴ ὡς πρότερον καταπολεμηθείησαν, συμμάχου Λακεδαιμονίοις βασιλέως γεγενημένου, πολιορκούμενοι δ' ἐκ τῆς Αἰγίνης ὑπὸ λῃστῶν, διὰ ταῦτα μὲν ἰσχυρῶς ἐπεθύμουν τῆς εἰρήνης. Οἱ δ' αὖ Λακεδαιμόνιοι, φρουροῦντες μόρᾳ μὲν ἐν Λεχαίῳ, μόρᾳ δ' ἐν Ὀρχομενῷ, φυλάττοντες δὲ τὰς πόλεις, αἷς μὲν ἐπίστευον, μὴ ἀπόλοιντο, αἷς δὲ ἠπίστουν, μὴ ἀποσταῖεν, πράγματα δ' ἔχοντες καὶ παρέχοντες περὶ τὴν Κόρινθον, χαλεπῶς ἔφερον τῷ πολέμῳ. Οἵ γε μὴν Ἀργεῖοι εἰδότες φρουράν τε πεφασμένην ἐφ' ἑαυτοὺς καὶ γιγνώσκοντες, ὅτι ἡ τῶν μηνῶν ὑποφορὰ οὐδὲν ἔτι σφᾶς ὠφελήσει, καὶ οὗτοι εἰς τὴν εἰρήνην πρόθυμοι ἦσαν. Ὥστ' ἐπεὶ παρήγγειλεν ὁ Τιρίβαζος παρεῖναι τοὺς βουλομένους ὑπακοῦσαι τῇ εἰρήνῃ, ἣν βασιλεὺς καταπέμποι, ταχέως πάντες παρεγένοντο. Ἐπεὶ δὲ συνῆλθον, ἐπιδείξας ὁ Τιρίβαζος τὰ βασιλέως σημεῖα ἀνεγίγνωσκε τὰ γεγραμμένα· εἶχε δὲ ὧδε.

«Ἀρταξέρξης βασιλεὺς νομίζει δίκαιον τὰς μὲν ἐν τῇ § 31
Ἀσίᾳ πόλεις ἑαυτοῦ εἶναι καὶ τῶν νήσων Κλαζομενὰς καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Κύπρον, τὰς δὲ ἄλλας Ἑλληνίδας πόλεις καὶ μικρὰς καὶ μεγάλας αὐτονόμους ἀφεῖναι πλὴν Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου· ταύτας δὲ ὥσπερ τὸ ἀρχαῖον εἶναι Ἀθηναίων. Ὁπότεροι δὲ ταύτην τὴν εἰρήνην μὴ δέχονται, τούτοις ἐγὼ πολεμήσω μετὰ τῶν ταὐτὰ βουλομένων καὶ πεζῇ καὶ κατὰ θάλατταν καὶ ναυσὶ καὶ χρήμασιν ».

§ 32 Ἀκούσαντες οὖν ταῦτα οἱ ἀπὸ τῶν πόλεων πρέσβεις ἀπήγγελλον ἐπὶ τὰς ἑαυτῶν ἕκαστοι πόλεις. Καὶ οἱ μὲν ἄλλοι πάντες ὤμνυσαν ἐμπεδώσειν ταῦτα, οἱ δὲ Θηβαῖοι ἠξίουν ὑπὲρ πάντων Βοιωτῶν ὀμνύναι. Ὁ δὲ Ἀγησίλαος οὐκ ἔφη δέξασθαι τοὺς ὅρκους, ἐὰν μὴ ὀμνύωσιν, ὥσπερ τὰ βασιλέως γράμματα ἔλεγεν, αὐτονόμους εἶναι καὶ μικρὰν καὶ μεγάλην πόλιν. Οἱ δὲ τῶν Θηβαίων πρέσβεις ἔλεγον, ὅτι οὐκ ἀπεσταλμένα σφίσι ταῦτ᾿ εἴη. «Ἴτε τοίνυν », ἔφη ὁ Ἀγησίλαος, « καὶ ἐρωτᾶτε· ἀπαγγέλλετε δ᾿ αὐτοῖς καὶ ταῦτα, ὅτι, εἰ μὴ ποιήσουσι ταῦτα, ἔκσπονδοι ἔσονται ». Οἱ μὲν δὴ ᾤχοντο.

§ 33 Ὁ δὲ Ἀγησίλαος διὰ τὴν πρὸς Θηβαίους ἔχθραν οὐκ ἔμελλεν, ἀλλὰ πείσας τοὺς ἐφόρους εὐθὺς ἐθύετο. Ἐπεὶ δὲ ἐγένετο τὰ διαβατήρια, ἀφικόμενος εἰς τὴν Τεγέαν διέπεμπε μὲν τῶν ἱππέων κατὰ τοὺς περιοίκους ἐπισπεύσοντας, διέπεμπε δὲ καὶ ξεναγοὺς εἰς τὰς πόλεις. Πρὶν δὲ αὐτὸν ὁρμηθῆναι ἐκ Τεγέας, παρῆσαν οἱ Θηβαῖοι λέγοντες, ὅτι ἀφιᾶσι τὰς πόλεις αὐτονόμους. Καὶ οὕτω Λακεδαιμόνιοι μὲν οἴκαδε ἀπῆλθον, Θηβαῖοι δ᾿ εἰς τὰς σπονδὰς εἰσελθεῖν ἠναγκάσθησαν αὐτονόμους ἀφέντες τῆς Βοιωτίας πόλεις.

§ 34 Οἱ δ᾿ αὖ Κορίνθιοι οὐκ ἐξέπεμπον τὴν τῶν Ἀργείων φρουράν. Ἀλλ᾿ ὁ Ἀγησίλαος καὶ τούτοις προεῖπε, τοῖς μέν, εἰ μὴ ἐκπέμψοιεν τοὺς Ἀργείους, τοῖς δέ, εἰ μὴ ἀπίοιεν ἐκ τῆς Κορίνθου, ὅτι πόλεμον ἐξοίσει πρὸς αὐτούς. Ἐπεὶ δὲ φοβηθέντων ἀμφοτέρων ἐξῆλθον οἱ Ἀργεῖοι καὶ αὐτὴ ἐφ᾿ αὑτῆς ἡ τῶν Κορινθίων πόλις ἐγένετο, οἱ μὲν σφαγεῖς καὶ οἱ μεταί-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τιοι τοῦ ἔργου αὐτοὶ γνόντες ἀπῆλθον ἐκ τῆς Κορίνθου· οἱ δ' ἄλλοι πολῖται ἑκόντες κατεδέχοντο τοὺς πρόσθεν φεύγοντας.

§ 35 Ἐπεὶ δὲ ταῦτ' ἐπράχθη καὶ ὠμωμόκεσαν αἱ πόλεις ἐμμενεῖν ἐν τῇ εἰρήνῃ, ἣν κατέπεμψε βασιλεύς, ἐκ τούτου διελύθη μὲν τὰ πεζά, διελύθη δὲ καὶ τὰ ναυτικὰ στρατεύματα. Λακεδαιμονίοις μὲν δὴ καὶ Ἀθηναίοις καὶ τοῖς συμμάχοις οὕτω μετὰ τὸν ὕστερον πόλεμον τῆς καθαιρέσεως τῶν Ἀθήνησι τειχῶν αὕτη πρώτη εἰρήνη ἐγένετο.

§ 36 Ἐν δὲ τῷ πολέμῳ μᾶλλον ἀντιρρόπως τοῖς ἐναντίοις πράττοντες οἱ Λακεδαιμόνιοι πολὺ ἐνδοξότεροι ἐγένοντο ἐκ τῆς ἐπ' Ἀνταλκίδου εἰρήνης καλουμένης. Προστάται γὰρ γενόμενοι τῆς ὑπὸ βασιλέως καταπεμφθείσης εἰρήνης και τὴν αὐτονομίαν ταῖς πόλεσι πράττοντες προσέλαβον μὲν σύμμαχον Κόρινθον, αὐτονόμους δὲ ἀπὸ τῶν Θηβαίων τὰς Βοιωτίας πόλεις ἐποίησαν, οὗπερ πάλαι ἐπεθύμουν, ἔπαυσαν δὲ καὶ Ἀργείους Κόρινθον σφετεριζομένους, φρουρὰν φήναντες ἐπ' αὐτούς, εἰ μὴ ἐξίοιεν ἐκ Κορίνθου.

## Β. Η ΠΑΛΗ ΜΕΤΑΞΥ ΣΠΑΡΤΗΣ ΚΑΙ ΘΗΒΩΝ

### 23. Ἐκστρατεία τῶν Λακεδαιμονίων κατὰ τῆς Ὀλύνθου. Κατάληψις τῶν Θηβῶν. Παραβίασις τῆς Ἀνταλκιδείου εἰρήνης ( 382 π. Χ. ).

( **2**, 24 - 32, 35 - 36, **4**, 1 )

**2** § 24 Ἐκ δὲ τούτου ἐκπέμπουσιν οἱ Λακεδαιμόνιοι Εὐδαμίδαν καὶ σὺν αὐτῷ νεοδαμώδεις τε καὶ τῶν περιοίκων καὶ τῶν Σκιριτῶν ἄνδρας ὡς δισχιλίους. Ὁ μέντοι Εὐδαμίδας ἐξιὼν ἐδεήθη τῶν ἐφόρων μετιέναι Φοιβίδαν τὸν ἀδελφὸν ἀθροίσαντα τοὺς ὑπολειπομένους τῶν ἑαυτῷ προστεταγμένων· αὐτὸς δὲ ἐπεὶ ἀφίκετο εἰς τὰ ἐπὶ Θρᾴκης χωρία, ταῖς μὲν δεομέναις τῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πόλεων φρουρούς ἔπεμπε, Ποτείδαιαν δὲ καὶ προσέλαβεν ἑκοῦσαν, σύμμαχον ἤδη ἐκείνων οὖσαν, καὶ ἐντεῦθεν ὁρμώμενος ἐπολέμει ὥσπερ εἰκός, τὸν ἐλάττω ἔχοντα δύναμιν.

§ 25 - 27 Ὁ δὲ Φοιβίδας ἐπεὶ ἠθροίσθησαν αὐτῷ οἱ ὑπολειφθέντες τοῦ Εὐδαμίδου, λαβὼν αὐτοὺς ἐπορεύετο. Ὡς δ' ἐγένετο ἐν Θήβαις, ἐστρατοπεδεύσαντο μὲν ἔξω τῆς πόλεως περὶ τὸ γυμνάσιον· στασιαζόντων δὲ τῶν Θηβαίων, πολεμαρχοῦντες μὲν ἐτύγχανον Ἰσμηνίας τε καὶ Λεοντιάδης, διάφοροι δὲ ὄντες ἀλλήλοις καὶ ἀρχηγὸς ἑκάτερος τῶν ἑταιρειῶν. Ὁ μὲν οὖν Ἰσμηνίας διὰ τὸ μῖσος τῶν Λακεδαιμονίων οὐδὲ ἐπλησίαζε τῷ Φοιβίδᾳ· ὁ μέντοι Λεοντιάδης ἄλλως τε ἐθεράπευεν αὐτὸν καί, ἐπεὶ εἰσῳκειώθη, ἔλεγε τάδε : «Ἔξεστί σοι, ὦ Φοιβίδα, τῇδε τῇ ἡμέρᾳ μέγιστα ἀγαθὰ τῇ σεαυτοῦ πατρίδι ὑπουργῆσαι· ἐὰν γὰρ ἀκολουθήσῃς ἐμοὶ σὺν τοῖς ὁπλίταις, εἰσάξω σε ἐγὼ εἰς τὴν ἀκρόπολιν· τούτου δὲ γενομένου νόμιζε τὰς Θήβας παντάπασιν ὑπὸ Λακεδαιμονίοις καὶ ἡμῖν τοῖς ὑμετέροις φίλοις ἔσεσθαι. Καίτοι νῦν μέν, ὡς ὁρᾷς, ἀποκεκήρυκται μηδένα μετὰ σοῦ στρατεύειν Θηβαίων ἐπ' Ὀλυνθίους, ἐὰν δέ γε σὺ ταῦτα μεθ' ἡμῶν πράξῃς, εὐθύς σοι ἡμεῖς πολλοὺς μὲν ὁπλίτας, πολλοὺς δὲ ἱππέας συμπέμψομεν. Ὥστε πολλῇ δυνάμει βοηθήσεις τῷ ἀδελφῷ καί, ἐν ᾧ μέλλει ἐκεῖνος Ὄλυνθον καταστρέφεσθαι, σὺ κατεστραμμένος ἔσει Θήβας, πολὺ μείζω πόλιν Ὀλύνθου ».

§ 28 - 29 Ἀκούσας δὲ ταῦτα ὁ Φοιβίδας ἀνεκουφίσθη· καὶ γὰρ ἦν τοῦ λαμπρόν τι ποιῆσαι πολὺ μᾶλλον ἢ τοῦ ζῆν ἐραστής· οὐ μέντοι λογιστικός γε οὐδὲ πάνυ φρόνιμος ἐδόκει εἶναι. Ἐπεὶ δὲ ὡμολόγησε ταῦτα, προορμῆσαι μὲν αὐτὸν ἐκέλευσεν, ὥσπερ συνεσκευασμένος ἦν, εἰς τὸ ἀπιέναι· « ἡνίκα δ' ἂν ᾖ καιρός, πρὸς σὲ ἥξω ἐγώ », ἔφη ὁ Λεοντιάδης, « καὶ αὐτός σοι ἡγήσομαι ». Ἐν ᾧ δὲ ἡ μὲν βουλὴ ἐκάθητο ἐν τῇ ἐν ἀγορᾷ στοᾷ διὰ τὸ τὰς γυναῖκας ἐν τῇ Καδμείᾳ θεσμοφοριάζειν, θέρους

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ ὄντος καὶ μεσημβρίας πλείστη ἦν ἐρημία ἐν ταῖς ὁδοῖς ἐν τούτῳ προσελάσας ἐφ' ἵππου ὁ Λεοντιάδης ἀποστρέφει τε τὸν Φοιβίδαν καὶ ἡγεῖται εὐθὺς εἰς τὴν ἀκρόπολιν, καταστήσας δ' ἐκεῖ τὸν Φοιβίδαν καὶ τοὺς μετ' αὐτοῦ καὶ παραδοὺς τὴν βαλανάγραν αὐτῷ τῶν πυλῶν καὶ εἰπὼν μηδένα παριέναι εἰς τὴ ἀκρόπολιν, ὅντινα μὴ αὐτὸς κελεύοι, εὐθὺς ἐπορεύετο πρὸς τὴν βουλήν.

Ἐλθὼν δὲ εἶπε τάδε· «Ὅτι μέν, ὦ ἄνδρες, Λακεδαιμόνιοι κατέχουσι τὴν ἀκρόπολιν, μηδὲν ἀθυμεῖτε· οὐδενὶ γάρ φασι πολέμιοι ἥκειν, ὅστις μὴ πολέμου ἐρᾷ. Ἐγὼ δὲ τοῦ νόμου κελεύοντος ἐξεῖναι πολεμάρχῳ λαβεῖν, εἴ τις δοκεῖ ἄξια θανάτου ποιεῖν, λαμβάνω τουτονὶ Ἰσμηνίαν ὡς πολεμοποιοῦντα. Καὶ ὑμεῖς δέ, οἱ λοχαγοί τε καὶ οἱ μετὰ τούτων τεταγμένοι, ἀνίστασθε καὶ λαβόντες ἀπαγάγετε τοῦτον, ἔνθα εἴρηται ». Οἱ μὲν δὴ εἰδότες τὸ πρᾶγμα παρῆσάν τε καὶ ἐπείθοντο καὶ συνελάμβανον· τῶν δὲ μὴ εἰδότων ἐναντίων δὲ ὄντων τοῖς περὶ Λεοντιάδην, οἱ μὲν ἔφυγον εὐθὺς ἔξω τῆς πόλεως δείσαντες, μὴ ἀποθάνοιεν· οἱ δὲ καὶ οἴκαδε πρῶτον ἀπεχώρησαν· ἐπεὶ δὲ εἰργμένον τὸν Ἰσμηνίαν ᾔσθοντο ἐν τῇ Καδμείᾳ, τότε δὴ ἀπεχώρησαν εἰς τὰς Ἀθήνας οἱ ταὐτὰ γιγνώσκοντες Ἀνδροκλείδᾳ τε καὶ Ἰσμηνίᾳ μάλιστα τριακόσιοι. § 30 - 31

Ὡς δὲ ταῦτ' ἐπέπρακτο, πολέμαρχον μὲν ἀντὶ Ἰσμηνίου ἄλλον εἵλοντο, ὁ δὲ Λεοντιάδης εὐθὺς εἰς Λακεδαίμονα ἐπορεύετο. Ηὗρε δ' ἐκεῖ τοὺς μὲν ἐφόρους καὶ τῆς πόλεως τὸ πλῆθος χαλεπῶς ἔχοντας τῷ Φοιβίδᾳ, ὅτι οὐ προσταχθέντα ὑπὸ τῆς πόλεως ταῦτα ἐπεπράχει· ὁ μέντοι Ἀγησίλαος ἔλεγεν, ὅτι, εἰ μὲν βλαβερὰ τῇ Λακεδαίμονι πεπραχὼς εἴη, δίκαιον εἴη ζημιοῦσθαι· εἰ δὲ ἀγαθά, ἀρχαῖον εἶναι νόμιμον ἐξεῖναι τὰ τοιαῦτα αὐτοσχεδιάζειν· « αὐτὸ οὖν τοῦτ' », ἔφη, « προσήκει σκοπεῖν, πότερον ἀγαθὰ ἢ κακά ἐστι τὰ πεπραγμένα ». § 32

Ἀκούουσι ταῦτα τοῖς Λακεδαιμονίοις ἔδοξε τήν τε ἀκρό- § 35 - 36

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολιν, ὥσπερ κατείληπτο, φυλάττειν καὶ Ἰσμηνίᾳ κρίσιν ποιῆσαι. Ἐκ δὲ τούτου πέμπουσι δικαστὰς Λακεδαιμονίων μὲν τρεῖς, ἀπὸ δὲ τῶν συμμαχίδων ἕνα ἀφ' ἑκάστης μικρᾶς καὶ μεγάλης πόλεως. Ἐπεὶ δὲ συνεκαθίζετο τὸ δικαστήριον, τότε δὴ κατηγορεῖτο τοῦ Ἰσμηνίου καὶ ὡς βαρβαρίζοι καὶ ὡς ξένος τῷ Πέρσῃ ἐπ' οὐδενὶ ἀγαθῷ τῆς Ἑλλάδος γεγενημένος εἴη καὶ ὡς τῶν παρὰ βασιλέως χρημάτων μετειληφὼς εἴη καὶ ὅτι τῆς ἐν τῇ Ἑλλάδι ταραχῆς πάσης ἐκεῖνός τε καὶ Ἀνδροκλείδας αἰτιώτατοι εἶεν. Ὁ δὲ ἀπελογεῖτο μὲν πρὸς πάντα ταῦτα, οὐ μέντοι ἔπειθέ γε τὸ μὴ οὐ μεγαλοπράγμων τε καὶ κακοπράγμων εἶναι. Καὶ ἐκεῖνος μὲν κατεψηφίσθη καὶ ἀποθνῄσκει. Οἱ δὲ περὶ Λεοντιάδην εἶχόν τε τὴν πόλιν καὶ τοῖς Λακεδαιμονίοις ἔτι πλείω ὑπηρέτουν ἢ προσεκάττετο αὐτοῖς.

4 § 1 Πολλὰ μὲν οὖν ἄν τις ἔχοι καὶ ἄλλα λέγειν καὶ Ἑλληνικὰ καὶ βαρβαρικά, ὡς θεοὶ οὔτε τῶν ἀσεβούντων οὔτε τῶν ἀνόσια ποιούντων ἀμελοῦσι· νῦν γε μὴν λέξω τὰ προκείμενα. Λακεδαιμόνιοί τε γὰρ οἱ ὀμόσαντες αὐτονόμους ἐάσειν τὰς πόλεις, τὴν ἐν Θήβαις ἀκρόπολιν κατασχόντες, ὑπ' αὐτῶν μόνων τῶν ἀδικηθέντων ἐκολάσθησαν, πρότερον ὑπ' οὐδενὸς τῶν πώποτε ἀνθρώπων κρατηθέντες, τούς τε τῶν πολιτῶν εἰσαγαγόντας εἰς τὴν ἀκρόπολιν αὐτοὺς καὶ βουληθέντας Λακεδαιμονίοις δουλεύειν τὴν πόλιν, ὥστε αὐτοὶ τυραννεῖν, τὴν τούτων ἀρχὴν ἑπτὰ μόνον τῶν φυγόντων ἤρκεσαν καταλῦσαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ

## 24. Ἡ ἐν Λεύκτροις μάχη ( 371 π. Χ. )

( 4, 1 - 16 )

Ἐκ δὲ τούτου οἱ μὲν Ἀθηναῖοι τάς τε φρουρὰς ἐκ τῶν πόλεων ἀπῆγον καὶ Ἰφικράτη καὶ τὰς ναῦς μετεπέμποντο καί, ὅσα ὕστερον ἔλαβε μετὰ τοὺς ὅρκους τοὺς ἐν Λακεδαίμονι γενομένους, πάντα ἠνάγκασαν ἀποδοῦναι, Λακεδαιμόνιοι μέντοι ἐκ μὲν τῶν ἄλλων πόλεων τούς τε ἁρμοστὰς καὶ τοὺς φρουροὺς ἀπήγαγον, Κλεόμβροτον δὲ ἔχοντα τὸ ἐν Φωκεῦσι στράτευμα καὶ ἐπερωτῶντα τὰ οἴκοι τέλη, τί χρὴ ποιεῖν, ἐκέλευσαν μὴ διαλύειν τὸ στράτευμα, ἀλλ' εὐθὺς ἄγειν ἐπὶ τοὺς Θηβαίους, εἰ μὴ αὐτονόμους ἀφίοιεν τὰς πόλεις. § 1 - 2

§ 3 Ὁ δὲ Κλεόμβροτος, ἐπεὶ ᾔσθετο τοὺς Θηβαίους οὐχ ὅπως τὰς πόλεις ἀφιέντας, ἀλλ' οὐδὲ τὸ στράτευμα διαλύοντας, οὕτως δὴ ἄγει τὴν στρατιὰν εἰς τὴν Βοιωτίαν. Καὶ ᾗ μὲν οἱ Θηβαῖοι ἐμβαλεῖν αὐτὸν ἐκ τῶν Φωκέων προσεδόκων καὶ ἐπὶ στενῷ τινι ἐφύλαττον, οὐκ ἐμβάλλει· διὰ Θισβῶν δὲ ὀρεινὴν καὶ ἀπροσδόκητον πορευθεὶς ἀφικνεῖται εἰς Κρεῦσιν καὶ τὸ τεῖχος αἱρεῖ καὶ τριήρεις τῶν Θηβαίων δώδεκα λαμβάνει. Ταῦτα δὲ ποιήσας καὶ ἀναβὰς ἀπὸ τῆς θαλάττης ἐστρατοπεδεύσατο ἐν Λεύκτροις τῆς Θεσπικῆς.

§ 4 - 5 Οἱ δὲ Θηβαῖοι ἐστρατοπεδεύσαντο ἐπὶ τῷ ἀπαντικρὺ λόφῳ οὐ πολὺ διαλείποντες, οὐδένας ἔχοντες συμμάχους ἀλλ' ἢ τοὺς Βοιωτούς. Ἔνθα δὴ τῷ Κλεομβρότῳ οἱ μὲν φίλοι προσιόντες ἔλεγον· «Ὦ Κλεόμβροτε, εἰ ἀφήσεις τοὺς Θηβαίους ἄνευ μάχης, κινδυνεύσεις ὑπὸ τῆς πόλεως τὰ ἔσχατα παθεῖν. Ἀναμνησθήσονται γάρ σου καὶ ὅτι εἰς Κυνὸς κεφαλὰς ἀφικόμενος οὐδὲν τῆς χώρας τῶν Θηβαίων ἐδῄωσας καὶ ὅτε ὕστερον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στρατεύων ἀπεκρούσθης τῆς ἐμβολῆς, 'Αγησιλάου ἀεὶ ἐμβάλλοντος διὰ τοῦ Κιθαιρῶνος. Εἴπερ οὖν ἢ σαυτοῦ κήδει ἢ τῆς πατρίδος ἐπιθυμεῖς, ἀκτέον ἐπὶ τοὺς ἄνδρας». Οἱ μὲν φίλοι τοιαῦτα ἔλεγον· οἱ δ' ἐναντίοι « Νῦν δή», ἔφασαν, « δηλώσει ὁ ἀνήρ, εἰ τῷ ὄντι κήδεται τῶν Θηβαίων, ὥσπερ λέγεται». 'Ο μὲν δὴ Κλεόμβροτος ταῦτα ἀκούων παρωξύνετο πρὸς τὸ μάχην συνάπτειν.

§ 6 - 7 Τῶν δ' αὖ Θηβαίων οἱ προεστῶτες ἐλογίζοντο, ὡς, εἰ μὴ μαχοῖντο, ἀποστήσοιντο μὲν αἱ περιοικίδες αὐτὸν πόλεις, αὐτοὶ δὲ πολιορκήσοιντο· εἰ δὲ μὴ ἕξοι ὁ δῆμος ὁ Θηβαίων τἀπιτήδεια, ὅτι κινδυνεύσει καὶ ἡ πόλις αὐτοῖς ἐναντία γενέσθαι. Ἅτε δὲ καὶ πεφευγότες πρόσθεν πολλοὶ αὐτῶν, ἐλογίζοντο κρεῖττον εἶναι μαχομένους ἀποθνήσκειν ἢ πάλιν φεύγειν. Πρὸς δὲ τούτοις παρεθάρρυνε μέν τι αὐτοὺς καὶ ὁ χρησμὸς ὁ λεγόμενος, ὡς δέοι ἐνταῦθα Λακεδαιμονίοις ἡττηθῆναι. 'Απηγγέλλετο δὲ καὶ ἐκ τῆς πόλεως αὐτοῖς, ὡς οἵ τε νεῴ πάντες αὐτόματοι ἀνεῴγοντο, αἵ τε ἱέρειαι λέγοιεν, ὡς νίκην οἱ θεοὶ φαίνοιεν. 'Εκ δὲ τοῦ 'Ηρακλείου καὶ τὰ ὅπλα ἔφασαν ἀφανῆ εἶναι, ὡς τοῦ 'Ηρακλέους εἰς τὴν μάχην ἐξωρμημένου. Τινὲς μὲν δὴ λέγουσιν, ὡς ταῦτα πάντα τεχνάσματα ἦν τῶν προεστηκότων.

§ 8 - 9 Εἰς δ' οὖν τὴν μάχην τοῖς μὲν Λακεδαιμονίοις πάντα τἀναντία ἐγίγνετο, τοῖς δὲ πάντα καὶ ὑπὸ τῆς τύχης κατωρθοῦτο. Ἦν μὲν γὰρ μετ' ἄριστον τῷ Κλεομβρότῳ ἡ τελευταία βουλὴ περὶ τῆς μάχης· ἐν δὲ τῇ μεσημβρίᾳ ὑποπινόντων καὶ τὸν οἶνον παροξῦναί τι αὐτοὺς ἔλεγον. 'Επεὶ δὲ ὡπλίζοντο ἑκάτεροι καὶ πρόδηλον ἦν, ὅτι μάχη ἔσοιτο, πρῶτον μὲν ἀπιέναι ὡρμημένων ἐκ τοῦ Βοιωτίου στρατεύματος τῶν τὴν ἀγορὰν παρεσκευακότων καὶ σκευοφόρων τινῶν καὶ τῶν οὐ βουλομένων μάχεσθαι, περιιόντες κύκλῳ οἵ τε μετὰ τοῦ 'Ιέρωνος μισθοφόροι καὶ οἱ τῶν Φωκέων πελτασταὶ καὶ τῶν ἱππέων 'Ηρακλεῶται καὶ Φλειάσιοι ἐπιθέμενοι τοῖς ἀπιοῦσιν ἐπέστρεψάν τε αὐτοὺς καὶ κατεδίωξαν πρὸς τὸ στρατόπεδον τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν Βοιωτῶν· ὥστε πολὺ μὲν ἐποίησαν μεῖζόν τε καὶ ἀθροώτερον ἢ πρόσθεν τὸ τῶν Βοιωτῶν στράτευμα. Ἔπειτα δέ, ἅτε καὶ πεδίου ὄντος τοῦ μεταξύ, προὐτάξαντο μὲν τῆς ἑαυτῶν φάλαγγος οἱ Λακεδαιμόνιοι τοὺς ἱππέας, ἀντετάξαντο δ' αὐτοῖς καὶ οἱ Θηβαῖοι τοὺς ἑαυτῶν.

Ἦν δὲ τὸ μὲν τῶν Θηβαίων ἱππικὸν μεμελετηκὸς διά τε § 10 - 11
τὸν πρὸς Ὀρχομενίους πόλεμον καὶ διὰ τὸν πρὸς Θεσπιέας, τοῖς δὲ Λακεδαιμονίοις κατ' ἐκεῖνον τὸν χρόνον πονηρότατον ἦν τὸ ἱππικόν· ἔτρεφον μὲν γὰρ τοὺς ἵππους οἱ πλουσιώτατοι· ἐπεὶ δὲ φρουρὰ φανθείη, τότε ἧκεν ὁ συντεταγμένος· λαβὼν δ' ἂν τὸν ἵππον καὶ ὅπλα, ὁποῖα δοθείη αὐτῷ, ἐκ τοῦ παραχρῆμα ἂν ἐστρατεύετο· τῶν δ' αὖ στρατιωτῶν οἱ τοῖς σώμασιν ἀδυνατώτατοι καὶ ἥκιστα φιλότιμοι ἐπὶ τῶν ἵππων ἦσαν· τοιοῦτον μὲν οὖν τὸ ἱππικὸν ἑκατέρων ἦν.

Τῆς δὲ φάλαγγος τοὺς μὲν Λακεδαιμονίους ἔφασαν εἰς § 12
τρεῖς τὴν ἐνωμοτίαν ἄγειν· τοῦτο δὲ συμβαίνει αὐτοῖς οὐ πλέον ἢ εἰς δώδεκα τὸ βάθος. Οἱ δὲ Θηβαῖοι οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα ἀσπίδων συνεστραμμένοι ἦσαν, λογιζόμενοι, ὡς, εἰ νικήσειαν τὸ περὶ τὸν βασιλέα, τὸ ἄλλο πᾶν εὐχείρωτον ἔσοιτο.

Ἐπεὶ δὲ ἤρξατο ἄγειν ὁ Κλεόμβροτος πρὸς τοὺς πολεμί- § 13
ους, πρῶτον μέν, πρὶν καὶ αἰσθέσθαι τὸ μετ' αὐτοῦ στράτευμα, ὅτι ἡγοῖτο, καὶ δὴ καὶ οἱ ἱππεῖς συνεβεβλήκεσαν καὶ ταχὺ ἥττηντο οἱ τῶν Λακεδαιμονίων· φεύγοντες δὲ ἐνεπεπτώκεσαν τοῖς ἑαυτῶν ὁπλίταις, ἔτι δὲ ἐνέβαλλον οἱ τῶν Θηβαίων λόχοι· ὅμως δὲ ὡς οἱ μὲν περὶ τὸν Κλεόμβροτον τὸ πρῶτον ἐκράτουν τῇ μάχῃ, σαφεῖ τούτῳ τεκμηρίῳ γνοίη τις ἄν· οὐ γὰρ ἂν ἐδύναντο αὐτὸν ἀνελέσθαι καὶ ζῶντα ἀπενεγκεῖν, εἰ μὴ οἱ πρὸ αὐτοῦ μαχόμενοι ἐπεκράτουν ἐν ἐκείνῳ τῷ χρόνῳ.

Ἐπεὶ μέντοι ἀπέθανε Δείνων τε πολέμαρχος καὶ Σφοδρίας § 14
τῶν περὶ δαμοσίαν καὶ Κλεώνυμος ὁ υἱὸς αὐτοῦ, καὶ οἱ μὲν ἵπποι καὶ οἱ συμφορεῖς τοῦ πολεμάρχου καλούμενοι, οἵ τε ἀλ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λοι ὑπὸ τοῦ ὄχλου ὠθούμενοι ἀνεχώρουν, οἱ δὲ τοῦ εὐωνύμου ὄντες τῶν Λακεδαιμονίων, ὡς ἑώρων τὸ δεξιὸν ὠθούμενον, ἐνέκλιναν· ὅμως δὲ πολλῶν τεθνεώτων καὶ ἡττημένοι, ἐπεὶ διέβησαν τὴν τάφρον, ἣ πρὸ τοῦ σταρτοπέδου ἔτυχεν οὖσα αὐτοῖς, ἔθεντο τὰ ὅπλα κατὰ χώραν, ἔνθεν ὥρμηντο. Ἦν μέντοι οὐ πάνυ ἐν ἐπιπέδῳ, ἀλλὰ πρὸς ὀρθίῳ μᾶλλον τι τὸ στρατόπεδον. Ἐκ δὲ τούτου ἦσαν μέν τινες τῶν Λακεδαιμονίων οἳ ἀφόρητον τὴν συμφορὰν ἡγούμενοι τό τε τρόπαιον ἔφασαν χρῆναι κωλύειν ἱστάναι τοὺς πολεμίους, τούς τε νεκροὺς μὴ ὑποσπόνδους, ἀλλὰ διὰ μάχης πειρᾶσθαι ἀναιρεῖσθαι.

§ 15 Οἱ δὲ πολέμαρχοι, ὁρῶντες μὲν τῶν συμπάντων Λακεδαιμονίων τεθνεῶτας ἐγγὺς χιλίους, ὁρῶντες δ᾿ αὐτῶν Σπαρτιατῶν, ὄντων τῶν ἐκεῖ ὡς ἑπτακοσίων, τεθνηκότας περὶ τετρακοσίους, αἰσθανόμενοι δὲ τοὺς συμμάχους πάντας μὲν ἀθύμως ἔχοντας πρὸς τὸ μάχεσθαι, τινὰς δ᾿ αὐτῶν οὐδὲ ἀχθομένους τῷ γεγενημένῳ, συλλέξαντες τοὺς ἐπικαιροτάτους ἐβουλεύοντο, τί χρὴ ποιεῖν· ἐπεὶ δὲ πᾶσιν ἐδόκει ὑποσπόνδους τοὺς νεκροὺς ἀναιρεῖσθαι, οὕτω δὴ ἔπεμψαν κήρυκα περὶ σπονδῶν. Οἱ μέντοι Θηβαῖοι μετὰ ταῦτα καὶ τρόπαιον ἐστήσαντο καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

§ 16 Γενομένων δὲ τούτων, ὁ μὲν εἰς τὴν Λακεδαίμονα ἀγγελῶν τὸ πάθος ἀφικνεῖται γυμνοπαιδιῶν τε οὔσης τῆς τελευταίας καὶ τοῦ ἀνδρικοῦ χοροῦ ἔνδον ὄντος· οἱ δὲ ἔφοροι, ἐπεὶ ἤκουσαν τὸ πάθος, ἐλυποῦντο μέν, ὥσπερ, οἶμαι, ἀνάγκη· τὸν μέντοι χορὸν οὐκ ἐξήγαγον, ἀλλὰ διαγωνίσασθαι εἴων. Καὶ τὰ μὲν ὀνόματα πρὸς τοὺς οἰκείους ἑκάστου τῶν τεθνεώτων ἀπέδοσαν· προεῖπον δὲ ταῖς γυναιξὶ μὴ ποιεῖν κραυγήν, ἀλλὰ σιγῇ τὸ πάθος φέρειν. Τῇ δ᾿ ὑστεραίᾳ ἦν ὁρᾶν, ὧν μὲν ἐτέθνασαν οἱ προσήκοντες, λιπαροὺς καὶ φαιδροὺς ἐν τῷ φανερῷ ἀναστρεφομένους, ὧν δὲ ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες, τούτους δὲ σκυθρωποὺς καὶ ταπεινοὺς περιιόντας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ

## 25. Συνασπισμὸς πελοποννησιακῶν πόλεων καὶ τῶν Ἀθηνῶν ἐναντίον τῶν Θηβαίων. Ἡ τελευταία εἰσβολὴ τοῦ Ἐπαμεινώνδα εἰς τὴν Πελοπόννησον. Ἡ ἐν Μαντινείᾳ μάχη ( 362 π. Χ. ).

( 5, 1 - 27 )

Ὡς δὲ ταῦτα ἀπηγγέλθη πρός τε τὸ κοινὸν τῶν Ἀρκά- § 1 - 3
δων καὶ κατὰ πόλεις, ἐκ τούτου ἀνελογίζοντο Μαντινεῖς τε καὶ τῶν ἄλλων Ἀρκάδων οἱ κηδόμενοι τῆς Πελοποννήσου, ὡσαύτως δὲ καὶ Ἠλεῖοι καὶ Ἀχαιοί, ὅτι οἱ Θηβαῖοι δῆλοι εἶεν βουλόμενοι ὡς ἀσθενεστάτην τὴν Πελοπόννησον εἶναι, ὡς ῥᾷστα αὐτὴν καταδουλώσαιντο· τί γὰρ δὴ πολεμεῖν ἡμᾶς βούλονται ἢ ἵνα ἡμεῖς μὲν ἀλλήλους κακῶς ποιῶμεν, ἐκείνων δ' ἀμφότεροι δεώμεθα ; ἢ τί, λεγόντων ἡμῶν, ὅτι οὐ δεόμεθα αὐτῶν ἐν τῷ παρόντι, παρασκευάζονται ὡς ἐξιόντες ; οὐ δῆλον, ὡς ἐπὶ τῷ κακόν τι ἐργάζεσθαι ἡμᾶς στρατεύειν παρασκευάζονται ; ἔπεμπον δὲ καὶ ἀθήναζε βοηθεῖν κελεύοντες· ἐπορεύθησαν δὲ καὶ εἰς Λακεδαίμονα πρέσβεις ἀπὸ τῶν ἐπαρίτων, παρακαλοῦντες Λακεδαιμονίους, εἰ βούλοιντο, κοινῇ διακωλύειν, ἄν τινες ἴωσι καταδουλωσόμενοι τὴν Πελοπόννησον. Περὶ μέντοι ἡγεμονίας αὐτόθεν διεπράττοντο, ὅπως ἐν τῇ ἑαυτῶν ἕκαστοι ἡγήσοιντο.

Ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο, Ἐπαμεινώνδας ἐξῄει Βοιω- § 4 - 5
τοὺς ἔχων πάντας καὶ Εὐβοέας καὶ Θετταλῶν πολλοὺς παρά τε Ἀλεξάνδρου και τῶν ἐναντίων αὐτῷ. Φωκεῖς μέντοι οὐκ ἠκολούθουν, λέγοντες, ὅτι συνθῆκαι σφίσιν αὐτοῖς εἶεν, εἴ τις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπὶ Θήβας ἴοι, βοηθεῖν· ἐπ' ἄλλους δὲ στρατεύειν οὐκ εἶναι ἐν ταῖς συνθήκαις. Ὁ μέντοι Ἐπαμεινώνδας ἐλογίζετο καὶ ἐν Πελοποννήσῳ σφίσιν ὑπάρχειν Ἀργείους τε καὶ Μεσσηνίους καὶ Ἀρκάδων τοὺς τὰ σφέτερα φρονοῦντας. Ἦσαν δ' οὗτοι Τεγεᾶται καὶ Μεγαλοπολῖται καὶ Ἀσεᾶται καὶ Παλλαντιεῖς καὶ εἴ τινες δὴ πόλεις διὰ τὸ μικραί τε εἶναι καὶ ἐν μέσαις ταύταις οἰκεῖν ἠναγκάζοντο· ἐξῆλθε μὲν δὴ ὁ Ἐπαμεινώνδας διὰ ταχέων.

§ 6 Ἐπεὶ δὲ ἐγένετο ἐν Νεμέᾳ, ἐνταῦθα διέτριβεν ἐλπίζων τοὺς Ἀθηναίους παριόντας λήψεσθαι καὶ λογιζόμενος μέγα ἂν τοῦτο γενέσθαι τοῖς μὲν σφετέροις συμμάχοις εἰς τὸ ἐπιρρῶσαι αὐτούς, τοῖς δὲ ἐναντίοις εἰς τὸ εἰς ἀθυμίαν ἐμπεσεῖν, ὡς δὲ συνελόντι εἰπεῖν, πᾶν ἀγαθὸν εἶναι Θηβαίοις ὅτι ἐλαττοῖντο Ἀθηναῖοι. Ἐν δὲ τῇ διατριβῇ αὐτοῦ ταύτῃ συνῆσαν πάντες οἱ ὁμοφρονοῦντες εἰς τὴν Μαντίνειαν.

§ 7 Ἐπεὶ μέντοι ὁ Ἐπαμεινώνδας ἤκουσε τοὺς Ἀθηναίους τὸ μὲν κατὰ γῆν πορεύεσθαι ἀπεγνωκέναι, κατὰ θάλατταν δὲ παρασκευάζεσθαι ὡς διὰ Λακεδαίμονος βοηθήσοντας τοῖς Ἀρκάσιν, οὕτω δὴ ἀφορμήσας ἐκ τῆς Νεμέας ἀφικνεῖται εἰς τὴν Τεγέαν.

§ 8 Εὐτυχῆ μὲν οὖν οὐκ ἂν ἔγωγε φήσαιμι τὴν στρατηγίαν αὐτῷ γενέσθαι· ὅσα μέντοι προνοίας ἔργα καὶ τόλμης ἐστίν, οὐδέν μοι δοκεῖ ὁ ἀνὴρ ἐλλιπεῖν. Πρῶτον μὲν γὰρ ἔγωγε ἐπαινῶ αὐτοῦ, ὅτι τὸ στρατόπεδον ἐν τῷ τείχει τῶν Τεγεατῶν ἐποιήσατο, ἔνθ' ἐν ἀσφαλεστέρῳ τε ἦν ἢ εἰ ἔξω ἐστρατοπεδεύετο καὶ τοῖς πολεμίοις ἐν ἀδηλοτέρῳ, ὅ,τι πράττοιτο. Καὶ παρασκευάζεσθαι δέ, εἴ του ἐδεῖτο, ἐν τῇ πόλει ὄντι εὐπορώτερον ἦν. Τῶν δ' ἑτέρων ἔξω στρατοπεδευομένων ἐξῆν ὁρᾶν, εἴτε τι ὀρθῶς ἐπράττετο εἴτε τι ἡμάρτανον. Καὶ μὴν οἰόμενος κρείττων τῶν ἀντιπάλων εἶναι, ὁπότε ὁρῴη χωρίοις πλεονεκτοῦντας αὐτούς, οὐκ ἐξήγετο ἐπιτίθεσθαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁρῶν δὲ οὔτε πόλιν αὐτῷ προσχωροῦσαν οὐδεμίαν τόν τε χρόνον προβαίνοντα, ἐνόμισε πρακτέον τι εἶναι εἰ δὲ μή, ἀντὶ τῆς πρόσθεν εὐκλείας πολλὴν ἀδοξίαν προσεδέχετο. Ἐπεὶ οὖν κατεμάνθανε περὶ μὲν τὴν Μαντίνειαν τοὺς ἀντιπάλους πεφυλαγμένους, μεταπεμπομένους δὲ Ἀγησίλαόν τε καὶ πάντας τοὺς Λακεδαιμονίους, καὶ ᾔσθετο ἐξεστρατευμένον τὸν Ἀγησίλαον καὶ ὄντα ἤδη ἐν τῇ Πελλήνῃ, δειπνοποιησάμενος καὶ παραγγείλας ἡγεῖτο τῷ στρατεύματι εὐθὺς ἐπὶ Σπάρτην. Καὶ εἰ μὴ Κρὴς θείᾳ τινὶ μοίρᾳ προσελθὼν ἐξήγγειλε τῷ Ἀγησιλάῳ προσιὸν τὸ στράτευμα, ἔλαβεν ἂν τὴν πόλιν ὥσπερ νεοττιὰν παντάπασιν ἔρημον τῶν ἀμυνομένων. Ἐπεὶ μέντοι προπυθόμενος ταῦτα ὁ Ἀγησίλαος ἔφθη εἰς τὴν πόλιν ἀπελθών, διαταξάμενοι οἱ Σπαρτιᾶται ἐφύλαττον, καὶ μάλα ὀλίγοι ὄντες· οἵ τε γὰρ ἱππεῖς αὐτοῖς πάντες ἐν Ἀρκαδίᾳ ἀπῆσαν καὶ τὸ ξενικὸν καὶ τῶν λόχων δώδεκα ὄντων οἱ τρεῖς. § 9 - 10

Ἐπεὶ δὲ ἐγένετο Ἐπαμεινώνδας ἐν τῇ πόλει τῶν Σπαρτιατῶν, ὅπου μὲν ἔμελλον ἔν τε ἰσοπέδῳ μαχεῖσθαι καὶ ἀπὸ τῶν οἰκιῶν βληθήσεσθαι, οὐκ εἰσῄει ταύτῃ, οὐδ' ὅπου γε μηδὲν πλέον μαχεῖσθαι τῶν ὀλίγων πολλοὶ ὄντες· ἔνθα δὲ πλεονεκτεῖν ἂν ἐνόμιζε, τοῦτο λαβὼν τὸ χωρίον κατέβαινε καὶ οὐκ ἀνέβαινεν εἰς τὴν πόλιν. Τό γε μὴν ἐντεῦθεν γενόμενον ἔξεστι μὲν τὸ θεῖον αἰτιᾶσθαι, ἔξεστι δὲ λέγειν, ὡς τοῖς ἀπονενοημένοις οὐδεὶς ἂν ὑποσταίη. Ἐπεὶ γὰρ ἡγεῖτο Ἀρχίδαμος οὐδὲ ἑκατὸν ἔχων ἄνδρας καὶ διαβάς, ὅπερ ἐδόκει τι ἔχειν κώλυμα, ἐπορεύετο πρὸς ὄρθιον ἐπὶ τοὺς ἀντιπάλους, ἐνταῦθα δὴ οἱ πῦρ πνέοντες, οἱ νενικηκότες τοὺς Λακεδαιμονίους, οἱ τῷ παντὶ πλείονες, καὶ προσέτι ὑπερδέξια χωρία ἔχοντες οὐκ ἐδέξαντο τοὺς περὶ τὸν Ἀρχίδαμον, ἀλλ' ἐγκλίνουσι· καὶ οἱ μὲν πρῶτοι τῶν Ἐπαμεινώνδου ἀποθνήσκουσιν. Ἐπεὶ μέντοι ἀγαλλόμενοι τῇ νίκῃ ἐδίωξαν οἱ ἔνδοθεν πορρωτέρω τοῦ καιροῦ, οὗτοι αὖ ἀποθνήσκουσιν· περιεγέγραπτο γάρ, ὡς ἔοικεν, § 11 - 13

*18*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑπὸ τοῦ θείου, μέχρι ὅσου νίκη ἐδέδοτο αὐτοῖς. Καὶ ὁ μὲν δὴ Ἀρχίδαμος τρόπαιόν τε ἵστατο, ἔνθα ἐπεκράτησε, καὶ τοὺς ἐνταῦθα πεσόντας τῶν πολεμίων ὑποσπόνδους ἀπεδίδου.

§ 14 Ὁ δ' Ἐπαμεινώνδας λογιζόμενος, ὅτι βοηθήσοιεν οἱ Ἀρκάδες εἰς τὴν Λακεδαίμονα, ἐκείνοις μὲν οὐκ ἐβούλετο καὶ πᾶσι Λακεδαιμονίοις ὁμοῦ γενομένοις μάχεσθαι, ἄλλως τε καὶ εὐτυχηκόσι, τῶν δὲ ἀποτετυχηκότων· πάλιν δὲ πορευθείς, ὡς ἐδύνατο τάχιστα, εἰς τὴν Τεγέαν τοὺς μὲν ὁπλίτας ἀνέπαυσε, τοὺς δ' ἱππέας ἔπεμψεν εἰς τὴν Μαντίνειαν, δεηθεὶς αὐτῶν προσκαρτερῆσαι καὶ διδάσκων ὡς πάντα μὲν εἰκὸς ἔξω εἶναι τὰ τῶν Μαντινέων βοσκήματα, πάντας δὲ τοὺς ἀνθρώπους, ἄλλως τε καὶ σίτου συγκομιδῆς οὔσης. Καὶ οἱ μὲν ᾤχοντο.

§ 15 Οἱ δ' Ἀθηναῖοι ἱππεῖς ὁρμηθέντες ἐξ Ἐλευσῖνος ἐδειπνοποιήσαντο μὲν ἐν Ἰσθμῷ, διελθόντες δὲ τὰς Κλεωνὰς ἐτύγχανον προσιόντες εἰς τὴν Μαντίνειαν καὶ καταστρατοπεδευσάμενοι ἐντὸς τείχους ἐν ταῖς οἰκίαις. Ἐπεὶ δὲ δῆλοι ἦσαν προσελαύνοντες οἱ πολέμιοι, ἐδέοντο οἱ Μαντινεῖς τῶν Ἀθηναίων ἱππέων βοηθῆσαι, εἴ τι δύναιντο· ἔξω γὰρ εἶναι καὶ τὰ βοσκήματα πάντα καὶ τοὺς ἐργάτας, πολλοὺς δὲ καὶ παῖδας καὶ γεραιτέρους τῶν ἐλευθέρων. Ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐκβοηθοῦσιν, ἔτι ὄντες ἀνάριστοι καὶ αὐτοὶ καὶ οἱ ἵπποι.

§ 16 - 17 Ἐνταῦθα δὴ τούτων αὖ τὴν ἀρετὴν τίς οὐκ ἂν ἀγασθείη; οἳ καὶ πολὺ πλείονας ὁρῶντες τοὺς πολεμίους καὶ ἐν Κορίνθῳ δυστυχήματος γεγενημένου τοῖς ἱππεῦσιν, οὐδὲν τούτων ὑπελογίσαντο, οὐδ' ὅτι καὶ Θηβαίοις καὶ Θετταλοῖς τοῖς κρατίστοις ἱππεῦσιν εἶναι δοκοῦσιν ἔμελλον μάχεσθαι, ἀλλ' αἰσχυνόμενοι εἰ παρόντες μηδὲν ὠφελήσειαν τοὺς συμμάχους, ὡς εἶδον τάχιστα τοὺς πολεμίους, συνέρραξαν, ἐρῶντες ἀνασώσασθαι τὴν πατρῴαν δόξαν. Καὶ μαχόμενοι αἴτιοι μὲν ἐγένοντο τὰ ἔξω πάντα σωθῆναι τοῖς Μαντινεῦσιν, αὐτῶν δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀπέθανον ἄνδρες ἀγαθοί, καὶ ἀπέκτειναν δὲ δῆλον ὅτι τοιούτους· οὐδὲν γὰρ οὕτω βραχὺ ὅπλον ἑκάτεροι εἶχον, ᾧ οὐκ ἐξικνοῦντο ἀλλήλων. Καὶ τοὺς μέν φιλίους νεκροὺς οὐκ ἀφεῖντο, τῶν δὲ πολεμίων ἐνίους ὑποσπόνδους ἀπέδοσαν.

Ὁ δ' αὖ Ἐπαμεινώνδας ἐνθυμούμενος ὅτι ὀλίγων μὲν § 18
ἡμερῶν ἀνάγκη ἔσοιτο ἀπιέναι διὰ τὸ ἐξήκειν τῇ στρατείᾳ τὸν χρόνον, εἰ δε καταλείψοι ἐρήμους, οἷς ἦλθε σύμμαχος, ἐκεῖνοι πολιορκήσοιντο ὑπὸ τῶν ἀντιπάλων, αὐτὸς δὲ λελυμασμένος τῇ ἑαυτοῦ δόξῃ παντάπασιν ἔσοιτο, ἡττημένος μὲν ἐν Λακεδαίμονι σὺν πολλῷ ὁπλιτικῷ ὑπ' ὀλίγων, ἡττημένος δὲ ἐν Μαντινείᾳ ἱππομαχίᾳ, αἴτιος δὲ γεγενημένος διὰ τὴν εἰς Πελοπόννησον στρατείαν τοῦ συνεστάναι Λακεδαιμονίους καὶ Ἀρκάδας καὶ Ἀχαιοὺς καὶ Ἠλείους καὶ Ἀθηναίους, ἡγήσατο οὐ δυνατὸν εἶναι ἀμαχεὶ παρελθεῖν, λογιζόμενος ὅτι, εἰ μὲν νικῴη, πάντα ταῦτα ἀναλύσαιτο· εἰ δὲ ἀποθάνοι, καλὴν τὴν τελευτὴν ἐνόμισεν ἔσεσθαι πειρωμένῳ τῇ πατρίδι ἀρχὴν Πελοποννήσου καταλιπεῖν.

Τὸ μὲν οὖν αὐτὸν τοιαῦτα διανοεῖσθαι οὐ πάνυ μοι δο- § 19 - 20
κεῖ θαυμαστὸν εἶναι· φιλοτίμων γὰρ ἀνδρῶν τὰ τοιαῦτα διανοήματα· τὸ μέντοι τὸ στράτευμα παρεσκευακέναι ὡς πόνον τε μηδένα ἀποκάμνειν μήτε νυκτὸς μήτε ἡμέρας, κινδύνου τε μηδενὸς ἀφίστασθαι, σπάνιά τε τὰ ἐπιτήδεια ἔχοντας ὅμως πείθεσθαι ἐθέλειν, ταῦτά μοι δοκεῖ θαυμαστότερα εἶναι· καὶ γάρ, ὅτε τὸ τελευταῖον παρήγγειλεν αὐτοῖς παρασκευάζεσθαι ὡς μάχης ἐσομένης, προθύμως μὲν ἐλευκοῦντο οἱ ἱππεῖς τὰ κράνη κελεύοντος ἐκείνου, ἐπεγράφοντο δὲ καὶ οἱ τῶν Ἀρκάδων ὁπλῖται ῥόπαλα ὡς Θηβαῖοι ὄντες, πάντες δὲ ἠκονῶντο καὶ λόγχας καὶ μαχαίρας καὶ ἐλαμπρύνοντο τὰς ἀσπίδας.

Ἐπεὶ μέντοι οὕτω παρεσκευασμένους ἐξήγαγεν, ἄξιον αὖ § 21 - 22
κατανοῆσαι, ἃ ἐποίησε. Πρῶτον μὲν γάρ, ὥσπερ εἰκός, συνετάττετο· τοῦτο δὲ πράττων σαφηνίζειν ἐδόκει, ὅτι εἰς μάχην

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παρεσκευάζετο ἐπεί γε μὴν ἐτέτακτο αὐτῷ τὸ στράτευμα ὡς ἐβούλετο, τὴν μὲν συντομωτάτην πρὸς τοὺς πολεμίους οὐκ ἦγε, πρὸς δὲ τὰ πρὸς ἑσπέραν ὄρη κατ' ἀντιπέρας τῆς Τεγέας ἡγεῖτο· ὥστε δόξαν παρεῖχε τοῖς πολεμίοις μὴ ποιήσεσθαι μάχην ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ γὰρ δὴ ὡς πρὸς τῷ ὄρει ἐγένετο, ἐπεὶ ἐξετάθη αὐτῷ ἡ φάλαγξ, ὑπὸ τοῖς ὑψηλοῖς ἔθετο τὰ ὅπλα, ὥστε εἰκάσθη στρατοπεδευομένῳ. Τοῦτο δὲ ποιήσας ἔλυσε μὲν τῶν πλείστων πολεμίων τὴν ἐν ταῖς ψυχαῖς πρὸς μάχην παρασκευήν, ἔλυσε δὲ τὴν ἐν ταῖς συντάξεσιν. 'Επεί γε μὴν παραγαγὼν τοὺς ἐπὶ κέρως πορευομένους λόχους εἰς μέτωπον ἰσχυρὸν ἐποιήσατο τὸ περὶ ἑαυτὸν ἔμβολον, τότε δὴ ἀναλαβεῖν παραγγείλας τὰ ὅπλα ἡγεῖτο· οἱ δ' ἠκολούθουν. Οἱ δὲ πολέμιοι, ὡς εἶδον παρὰ δόξαν ἐπιόντας, οὐδεὶς αὐτῶν ἡσυχίαν ἔχειν ἐδύνατο, ἀλλ' οἱ μὲν ἔθεον εἰς τὰς τάξεις, οἱ δὲ παρετάττοντο, οἱ δὲ ἵππους ἐχαλίνουν, οἱ δὲ θώρακας ἐνεδύοντο, πάντες δὲ πεισομένοις τι μᾶλλον ἢ ποιήσουσι ἐῴκεσαν.

§ 23 - 24 Ὁ δὲ τὸ στράτευμα ἀντίπρῳρον ὥσπερ τριήρη προσῆγε, νομίζων, ὅπη ἐμβαλὼν διακόψειε, διαφθερεῖν ὅλον τὸ τῶν ἐναντίων στράτευμα· καὶ γὰρ δὴ τῷ μὲν ἰσχυροτάτῳ παρεσκευάζετο ἀγωνίζεσθαι, τὸ δὲ ἀσθενέστατον πόρρω ἀπέστησεν, εἰδώς, ὅτι ἡττηθὲν ἀθυμίαν ἂν παράσχοι τοῖς μεθ' ἑαυτοῦ, ρώμην δὲ τοῖς πολεμίοις. Καὶ μὴν τοὺς ἱππέας οι μὲν πολέμιοι, ἀντιπαρετάξαντο, ὥσπερ ὁπλιτῶν φάλαγγα βάθος ἐφεξῆς καὶ ἔρημον πεζῶν ἁμίππων. Ὁ δὲ 'Επαμεινώνδας αὖ καὶ τοῦ ἱππικοῦ ἔμβολον ἰσχυρὸν ἐποιήσατο καὶ ἁμίππους πεζοὺς συνέταξεν αὐτοῖς, νομίζων τὸ ἱππικὸν ἐπεὶ διακόψειεν, ὅλον τὸ ἀντίπαλον νενικηκὼς ἔσεσθαι· μάλα γὰρ χαλεπὸν εὑρεῖν τοὺς ἐθελήσαντας μένειν, ἐπειδάν τινας φεύγοντας τῶν ἑαυτῶν ὁρῶσι· καὶ ὅπως μὴ ἐπιβοηθῶσιν οἱ 'Αθηναῖοι ἀπὸ τοῦ εὐωνύμου κέρατος ἐπὶ τὸ ἐχόμενον, κατέστησεν ἐπὶ γηλόφων τινῶν ἐναντίους αὐτοῖς καὶ ἱππέας καὶ ὁπλίτας, φόβον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βουλόμενος καὶ τούτοις παρέχειν, ὡς, εἰ βοηθήσοιεν, ὄπισθεν οὗτοι ἐπικείσοιντο αὐτοῖς. Τὴν μὲν δὴ συμβολὴν οὕτως ἐποιήσατο, καὶ οὐκ ἐψεύσθη τῆς ἐλπίδος· κρατήσας γὰρ ᾗ προσέβαλεν, ὅλον ἐποίησε φεύγειν τὸ τῶν ἐναντίων.

Ἐπεί γε μὴν ἐκεῖνος ἔπεσεν, οἱ λοιποὶ οὐδὲ τῇ νίκῃ § 25 ὀρθῶς ἔτι ἐδυνάσθησαν χρήσασθαι, ἀλλὰ φυγούσης μὲν αὐτοῖς τῆς ἐναντίας φάλαγγος οὐδένα ἀπέκτειναν οἱ ὁπλῖται οὐδὲ προῆλθον ἐκ τοῦ χωρίου, ἔνθα ἡ συμβολὴ ἐγένετο· φυγόντων δ' αὐτοῖς καὶ τῶν ἱππέων, ἀπέκτειναν μὲν οὐδ' οἱ ἱππεῖς διώκοντες οὔτε ἱππέας, οὔθ' ὁπλίτας, ὥσπερ δὲ ἡττώμενοι πεφοβημένων διὰ τῶν φευγόντων πολεμίων διέπεσον. Καὶ μὴν οἱ ἅμιπποι καὶ οἱ πελτασταὶ συννενικηκότες τοῖς ἱππεῦσιν ἀφίκοντο μὲν ἐπὶ τοῦ εὐωνύμου ὡς κρατοῦντες, ἐκεῖ δ' ὑπὸ τῶν Ἀθηναίων οἱ πλεῖστοι αὐτῶν ἀπέθανον.

Τούτων δὲ πραχθέντων τοὐναντίον ἐγεγένητο, οὗ ἐνό- § 26 - 27 μισαν πάντες ἄνθρωποι ἔσεσθαι· συνεληλυθυίας γὰρ σχεδὸν ἁπάσης τῆς Ἑλλάδος καὶ ἀντιτεταγμένων, οὐδεὶς ἦν, ὅστις οὐκ ᾤετο, εἰ μάχη ἔσοιτο, τοὺς μὲν κρατήσαντας ἄρξειν, τοὺς δὲ κρατηθέντας ὑπηκόους ἔσεσθαι. Ὁ δὲ θεὸς οὕτως ἐποίησεν, ὥστε ἀμφότεροι μὲν τρόπαιον ὡς νενικηκότες ἐστήσαντο, τοὺς δὲ ἱσταμένους οὐδέτεροι ἐκώλυον, νεκροὺς δὲ ἀμφότεροι μὲν ὡς νενικηκότες ὑποσπόνδους ἀπέδοσαν, ἀμφότεροι δὲ ὡς ἡττημένοι ὑποσπόνδους ἀπελάμβανον, νενικηκέναι δὲ φάσκοντες ἑκάτεροι οὔτε χώρᾳ οὔτε πόλει οὔτ' ἀρχῇ οὐδέτεροι οὐδὲν πλέον ἔχοντες ἐφάνησαν ἢ πρὶν τὴν μάχην γενέσθαι· ἀκρισία δὲ καὶ ταραχὴ ἔτι πλείων μετὰ τὴν μάχην ἐγένετο ἢ πρόσθεν ἐν τῇ Ἑλλάδι. Ἐμοὶ μὲν δὴ μέχρι τούτου γραφέσθω· τὰ δὲ μετὰ ταῦτα ἴσως ἄλλῳ μελήσει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΜΕΡΟΣ Β΄

# ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

## ( **6**, 1 - 28, 32 - 38 )

§ **1 - 3. τῷ ἐπιόντι ἔτει**· ἤτοι τὴν ἄνοιξιν τοῦ 406 π.Χ. — **παρεληλυθότος ἤδη τοῦ χρόνου**· ἐνν. τῆς ναυαρχίας. Ὁ Λ. εἶχεν ἀναλάβει τὴν διοίκησιν τοῦ σπαρτιατικοῦ στόλου τὸ φθινόπωρον τοῦ 408. — **ναυμαχίᾳ νενικηκώς**· τὸ προηγούμενον ἔτος εἶχε νικήσει τὸν στόλον τῶν Ἀθηναίων εἰς τὸ Νότιον, πλησίον τῆς Ἐφέσου. Κατὰ τὴν ἐποχὴν ἐκείνην ἀρχηγὸς τοῦ ἀθηναϊκοῦ στόλου ἦτο ὁ Ἀλκιβιάδης· ἐπειδὴ ὅμως παρουσιάσθη ἀνάγκη νὰ πλεύσῃ εἰς Φώκαιαν, ἀφῆκε προσωρινὸν ἀντικαταστάτην του τὸν κυβερνήτην τῆς ναυαρχίδος Ἀντίοχον. Πρὸς αὐτὸν ἔδωκεν αὐστηρὰς διαταγὰς νὰ μὴ συγκρουσθῇ κατὰ τὸν χρόνον τῆς ἀπουσίας του πρὸς τὸν σπαρτιατικὸν στόλον, ὁ ὁποῖος ἦτο ἠγκυροβολημένος εἰς τὴν Ἔφεσον ὑπὸ ναύαρχον τὸν Λύσανδρον. Ἀλλ' ὁ Ἀντίοχος παρήκουσε τὰς ἐντολὰς τοῦ Ἀλκιβιάδου καὶ παρασυρθεὶς εἰς ἀπερίσκεπτον ναυμαχίαν ἡττήθη ( ἴδ. εἰσαγωγὴν σ. 186 ). — **οὗ**· ἐπίρρ. = ὅπου. — **οὔ φημι** ἀρνοῦμαι. — **πολυπραγμονέω - ῶ** ἀναμειγνύομαι εἰς ξένας ὑποθέσεις. — **προσπληρόω - ῶ** ἐξοπλίζω προσέτι. — **ἀπαντάω - ῶ τινι** ἐπέρχομαι κατά τινος.

§ **4. καταστασιάζομαι ὑπό τινος** εὑρίσκω ἀντίδρασιν διὰ πολιτικοὺς λόγους ἐκ μέρους τινός. — **διαθροέω - ῶ** διαδίδω. — **παραπίπτω** περιπίπτω εἰς σφάλμα. — **διαλλάττω τοὺς ν.** ἀλλάσσω τοὺς ν. — **γιγνομένων**· ἐνν. ναυάρχων. — **ἄρτι** πρὸ ὀλίγου. — **συνίημι τὰ ναυτικὰ** κατανοῶ τὴν ναυτικὴν τέχνην. — **ἀγνὼς** ἄγνωστος. — **τοῖς ἐκεῖ**· δηλ. εἰς τὰ μέρη, εἰς τὰ ὁποῖα στέλλονται. — **παθεῖν τι**· τουτέστιν ἀτύχημα, ἧτταν.

§ **5. τὸ κατ' ἐμὲ** ὅσον ἐξαρτᾶται ἀπὸ ἐμέ· διότι εἰς τὴν παραμονὴν τοῦ Λυσ. ὡς ναυάρχου τοῦ σπαρτιατικοῦ στόλου δὲν ἦτο ἐμπόδιον ὁ Καλλικρατίδας, ἀλλ' ὁ νόμος, ὁ ὁποῖος ἀπηγόρευε νὰ γίνῃ τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἴδιον πρόσωπον δύο φορὰς ναύαρχος ( Βιβλ. Β', 1, § 7 ). — **πρὸς ἃ ἐν** σχέσει πρὸς ἐκεῖνα, εἰς τὰ ὁποῖα. — **φιλοτιμέομαι - οῦμαι** ἐπιδεικνύω ζῆλον. — **αἰτιάζομαι** κατηγοροῦμαι.

§ **6 - 7. ἐφ' ἃ ἥκει = ταῦτα, ἐφ' ἃ ἥκει. — παρὰ Κῦρον**· τὸν γνωστὸν ἐκ τῆς *Κύρου Ἀναβάσεως*· οὗτος, ὅπως οἱ ἄλλοι σατράπαι καὶ αὐτὸς ὁ βασιλεὺς τῶν Περσῶν, ἦτο φίλος τῶν Λακεδ. κατὰ τὸν Πελοπον. πόλεμον καὶ ἐνίσχυεν αὐτοὺς οἰκονομικῶς. — **ἐπέχω** περιμένω. — **ἄχθομαι** δυσαρεστοῦμαι, δυσφορῶ. — **θύρα** κατοικία. — **φοιτήσεις** συχναὶ ἐπισκέψεις. — **κατά γε τὸ αὐτοῦ δυνατὸν** κατὰ τὴν ἰδικήν του τοὐλάχιστον δύναμιν.

§ **8 - 11. πεπονθέναι**· τοῦ **πάσχω**. — **ἐξηγοῦμαί τινι** χρησιμεύω ὡς παράδειγμα εἴς τινα. — **οἴχομαι** ἀναχωρῶ. — **ἀντὶ τῶν συμβάντων ἡμῖν ἀγαθῶν** εἰς ἀντάλλαγμα τῶν ἀγαθῶν, τὰ ὁποῖα τυχὸν θὰ συμβοῦν εἰς ἡμᾶς. — **ἐκεῖνα**· τὰ ζητηθέντα ἐκ Σπάρτης χρήματα. — **ἀξία** ἐπαξία.

§ **12 - 15. οἱ αἰτιαζόμενοι**· νοοῦνται οἱ φίλοι τοῦ Λυσ. — **ἐναντιόομαι - οῦμαι** ἀντιδρῶ. — **πόρος χρημάτων** τρόπος ἐξευρέσεως χρημάτων. — **ἐπαγγέλλομαι** ὑπόσχομαι. — **ἐπαγγελλόμενοι**· δηλ. δοῦναι χρήματα. — **ἰδίᾳ** ἐξ ἰδίων. — **ἐφοδιάζομαί τινί τι** φροντίζω νὰ δοθῇ εἴς τινά τι. — **οἱ ἔμφρουροι** ἡ φρουρά. — **οἱ τὰ πράγματα ἔχοντες** οἱ διαχειριζόμενοι τὴν ἐξουσίαν. — **κατὰ κράτος** διὰ τῆς βίας. — **ἀποδίδομαί τι** πωλῶ τι. — **εἰς τὸ ἐκείνου δυνατὸν** κατὰ τὴν δύναμίν του. — **Ἀθ. φρουρούς**· οἱ ὁποῖοι ἦσαν δοῦλοι. — **ἀνάγομαι** ἐξέρχομαι εἰς τὸ πέλαγος. — **ὑποτέμνομαι** προσπαθῶ νὰ ἀποκόψω.

§ **16 - 18. ἐκλελέχθαι**· τοῦ **ἐκλέγω**. — **ὡς ἔφθη** ( τοῦ ρ. **φθάνω** ) **κατακωλυθεὶς** ἐπειδὴ οἱ ἐχθροὶ ἐπρόλαβαν καὶ τοῦ ἀπέκοψαν τὸν δρόμον. — **ἀποφεύγω εἰς τὴν γῆν** σῴζομαι καταφεύγων εἰς τὴν ξηράν. — **ὑπὸ τῷ τείχει**· διότι εἰς τὸν λιμένα τῆς πόλεως δὲν ἦτο δυνατὸν νὰ εἰσέλθῃ, ἐπειδὴ ἦτο ὠχυρωμένος. — **ὁρμίζομαι** ἀγκυροβολῶ. — **ἔκπλους** ἔξοδος, τὸ στόμιον τοῦ λιμένος. — **πανδημεὶ** μὲ ὅλον τὸν στρατόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ **19 - 20. σῖτος** τρόφιμα. — **εὐπορῶ τινος** ἐξευρίσκω ἀρκετὴν ποσότητα ἔκ τινος. — **ἐπιβάται** οἱ ἐπὶ τῶν πλοίων στρατιῶται ( οἱ ὁποῖοι ἔμενον ἐπὶ τοῦ καταστρώματος ). — **εἰς κοίλην ναῦν** εἰς τὸ κοίλωμα τοῦ πλοίου. — **παραρρύματα**· ἀλλαχοῦ **παραβλήματα** ( Βιβλ. Β΄, 1, 22 - 24 )· ἦσαν εἶδος παραπετασμάτων, συνήθως ἐκ δέρματος, μὲ τὰ ὁποῖα ἐσκέπαζον τὰ πλευρὰ τῶν πλοίων, διὰ νὰ μὴ βλέπουν οἱ ἀντίπαλοι τὰς κινήσεις τῶν πληρωμάτων. — **παραβάλλω** τοποθετῶ, κρεμῶ. — **οὕτω ἀνεῖχον** εἰς τοιαύτην ἀπραξίαν ἦσαν. — **ἐξεβίβαζεν**· δηλ. τοὺς στρατιώτας. — **ἐφορμέω - ῶ** ἐνεργῶ ἀποκλεισμόν. — **ὀλιγώρως ἔχω** δὲν προσέχω, εἶμαι ξένοιαστος.

§ **21 - 23. ἀνύτω** κατορθώνω. — **τεταραγμένοι** ἀτάκτως. — **ἀναδέομαι - οῦμαι** προσδένω καὶ σύρω, ρυμουλκῶ. — **διέφυγε**· ὑπὸ τὸν Ἐρασινίδην. — **εὔριπος** πορθμός. — **τῶν Μυτ**. ἡ ἀρχαία πόλις τῆς Μυτιλ. ἔκειτο ἐπὶ μακρᾶς νήσου, τὴν ὁποίαν ἐχώριζεν ἀπὸ τὴν Λέσβον στενὸς πορθμός.

§ **24 - 25. τοὺς ἐν ἡλικίᾳ ὄντας**· εἰς τὰς Ἀθήνας ἐστρατεύοντο ἀπὸ τοῦ 17 - 60 ἔτους· καὶ οἱ μὲν νεώτατοι τῶν στρατευομένων ( 18 - 20 ), ὅπως καὶ οἱ πρεσβύτατοι ( 50 - 60 ), ἔμενον ἐντὸς τῶν ὁρίων τῆς χώρας πρὸς φρούρησιν τῶν τειχῶν καὶ τῶν ὀχυρῶν καὶ διὰ τὴν τήρησιν τῆς ἐννόμου τάξεως οἱ δὲ ἀπὸ τοῦ 20 - 50 ἔτους, οἱ ὁποῖοι ἀπετέλουν καὶ τὴν κυρίως στρατεύσιμον δύναμιν, ἐστέλλοντο εἰς τὸ πολεμικὸν μέτωπον. — **ἀπαίρω** ἀποπλέω. — **καὶ τῶν ἱππέων πολλοί**· αὐτὸ ἐγίνετο εἰς ἐκτάτους μόνον περιστάσεις. — **ἔξω οὖσαι**· δηλ. μακρὰν τῶν Ἀθηνῶν. Μεταξὺ αὐτῶν συγκατελέγοντο καὶ τὰ ἱερὰ πλοῖα, Σαλαμινία, Πάραλος, Δηλιάς.

§ **26 - 28. αὐτοῦ**· δηλ. εἰς τὸν λιμένα τῆς Μυτιλήνης. — **Ἐτεόνικον**· Λακεδαιμόνιον ναύαρχον. Εἰς αὐτὸν ἀναθέτει ὁ Καλ. τὸ ἔργον νὰ ἐμποδίσῃ τὸν Κόνωνα νὰ ἐξέλθῃ ἐκ τοῦ λιμένος τῆς Μυτιλήνης καὶ νὰ ἑνωθῇ μὲ τὸν στόλον, ὁ ὁποῖος ἤρχετο εἰς βοήθειάν του. — **Ἀργινοῦσαι**· συστὰς νήσων μεταξὺ Λέσβου καὶ Μικρᾶς Ἀσίας. — **Μαλέα ἄκρα**· τὸ μεσημβρινὸν ἀκρωτήριον τῆς Λέσβου. — **ἐξαπιναίως** αἰφνιδιαστικῶς. — **ἀναγωγὴ** πλοῦς. — **ἀνέσχεν**· τὸ ὕδωρ = ἐσταμάτησεν ἡ βροχή. — **ἀντανάγομαι** ἐξέρχομαι εἰς τὸ πέλαγος κατά τινος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ **32. ἐστὶ καλῶς ἔχον** καλῶς ἔχει. — **οὐ δέος**· ἐνν. ἐστὶ = δὲν ὑπάρχει φόβος. — **κακῶς οἰκοῦμαι** δυστυχῶ.

§ **33 - 34. ἐμβάλλω** συγκρούομαι πρός τινα ( ἐδῶ πρὸς ἐχθρικὸν πλοῖον ). — **ἐντεῦθεν**· χρονικὸν = τότε. — **εἰς Φώκαιαν**· πόλιν τῆς 'Ιωνίας. — **προσφέρομαι πρὸς τὴν γῆν** παλαίων πρὸς τὸ κῦμα προσεγγίζω εἰς τὴν ξηράν.

§ **35. ἐπὶ τὰς καταδεδυκυίας ναῦς** πρὸς διάσωσιν τῶν βυθισθέντων πλοίων. — **αὐλίζομαι** στρατοπεδεύω. — **ὑπηρετικὸς κέλης** μικρὸν πλοιάριον τῆς ὑπηρεσίας, βοηθητικὸν τοῦ στόλου, ὅπως θὰ ἐλέγομεν σήμερον.

§ **36 - 37. ἐστεφανωμένους**· διότι οἱ κομισταὶ εὐχαρίστων ἀγγελιῶν ἦσαν ἐστεφανωμένοι. — **θύω τὰ εὐαγγέλια** προσφέρω θυσίαν διὰ τὸ εὐφρόσυνον ἄγγελμα. — **τοῖς ἐμπόροις**· τὰ στρατεύματα τῶν ἀρχαίων ἠκολούθουν πάντοτε ἔμποροι, διὰ νὰ πωλοῦν εἰς τοὺς στρατιώτας χρήσιμα εἴδη καὶ διὰ νὰ ἀγοράζουν τὰ λάφυρα. — **πλοῖον** ἐμπορικὸν πλοῖον· ἐλέγετο καὶ **ὁλκὰς** καὶ **στρογγύλον πλοῖον**. — **τὸ πνεῦμα οὔριον**· ἔπνεε δηλ. βόρειος ἄνεμος. — **τὴν ταχίστην**· ἐνν. ὁδὸν = τάχιστα. — **ἐμπρήσας**· τοῦ **ἐμπίμπρημι** πυρπολῶ.

§ **38. ἐπανάγομαι** πλέω ἐναντίον τοῦ ἐχθροῦ.

( **7**, 1 - 15, 34 )

§ **1 - 3. ἐν οἴκῳ**· δηλ. οἱ ἐν 'Αθήναις 'Αθηναῖοι. — **ὁ τοῦ δήμου προεστηκὼς** δὲν πρόκειται περὶ ἀνθρώπου, ὁ ὁποῖος κατεῖχεν εἰς τὴν πολιτικὴν ἀξίωμά τι, ἀλλὰ περὶ πολιτικοῦ ἀσκοῦντος ἐπιρροὴν ἐπὶ τοῦ πλήθους λόγῳ τῆς ἀνεγνωρισμένης ἀξίας του. 'Ο τοιοῦτος λέλέγεται συνήθως **προστάτης τοῦ δήμου**. — **διωβελία**· ἡ καταβολὴ εἰς ἕκαστον ἄπορον 'Αθηναῖον πολίτην ἐκ μέρους τῆς πολιτείας δύο ὀβολῶν πρὸς πληρωμὴν τοῦ εἰσιτηρίου τοῦ θεάτρου κατὰ τὰς ἡμέρας τῶν θεατρικῶν παραστάσεων. Τὰ χρήματα αὐτὰ ἐκαλοῦντο γενικώτερον **θεωρικά**. — **ἐπιβολή**· πρόστιμον ἐπιβαλλόμενον εἰς τοὺς μὴ διαχειρισθέντας καλῶς τὴν δημοσίαν ὑπηρεσίαν, ἡ ὁποία ἀνετέθη εἰς αὐτούς.— **ὄντα τοῦ δήμου**· ἴσως προήρχοντο ἐκ πολεμικῆς λείας διότι τὰ ἐκ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοιαύτης πηγῆς χρήματα ἢ λάφυρα ἀνῆκον εἰς τὸ δημόσιον. — **δέω - ῶ** ὁδηγῶ εἰς τὸ δεσμωτήριον. — **δῆσαι**· ὡς ὀφειλέτην τοῦ δημοσίου.

§ **4. λόγον ὑπέχω** δίδω λόγον. — **διότι** διατί, διὰ ποῖον λόγον.— **ἀναιρέομαι - οῦμαι τοὺς ναυαγοὺς** σηκώνω τοὺς ναυαγοὺς καὶ τοὺς μεταφέρω πρὸς ταφήν. — **καθάπτομαί τινος** κατηγορῶ, θεωρῶ ἔνοχόν τινα. — **αἰτιάομαι -ῶμαι** προφασίζομαι.

§ **5 - 7 προτίθεται λόγος τινὶ** ἐπιτρέπεται εἴς τινα νὰ ὁμιλήσῃ. — **κατὰ τὸν νόμον**· ὁ ὁποῖος ὥριζεν, ὅτι ἕκαστος κατηγορούμενος εἶχεν εἰς τὴν διάθεσίν του ὡρισμένον χρόνον, διὰ νὰ ἀπολογηθῇ. — **τῶν τριηράρχων**· κατὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν ὁ Θ. καὶ ὁ Θρ. δὲν ἦσαν στρατηγοί, ἀλλ' ἁπλοῖ τριήραρχοι. Ἐν τούτοις δὲν ἐστεροῦντο στρατηγικῆς πείρας, διότι εἰς προηγουμένας περιόδους ἐχρημάτισαν στρατηγοί. — **δέοι**· ἐνν. αἰτιάσασθαι. — **εἶναι**· τὸ ἀπαρέμφ. ἐξαρτᾶται ἐκ τοῦ νοουμένου **φαμέν. — ἐγγυᾶσθαι**· κατὰ τὸ ἀττικὸν δίκαιον, ἂν ἀνελάμβανον νὰ ἐγγυηθοῦν ὑπὲρ τοῦ κατηγορουμένου τρεῖς ἀξιόχρεοι πολῖται, οὗτος δὲν ὡδηγεῖτο εἰς τὸ δεσμωτήριον.— **ἀναβαλέσθαι**· τὴν ψηφοφορίαν. — **ὀψὲ** ἀργά. — **τὰς χεῖρας**· διότι αἱ ἀποφάσεις ἐλαμβάνοντο διὰ **χ ε ι ρ ο τ ο ν ί α ς**, δηλ. ἀνατάσεως τῶν χειρῶν. — **προβουλεύω**· ἐλέγετο ἐπὶ τῆς ἐν Ἀθήναις βουλῆς καὶ σημαίνει : καταρτίζω προβούλευμα, ἤτοι σχέδιον νόμου. — **εἰσφέρω** προτείνω.— **εἰσενεγκεῖν**· εἰς τὴν ἐκκλησίαν τοῦ δήμου πρὸς ἐπιψήφισιν. — **ὅτῳ τρόπῳ** τίνι τρόπῳ.

§ **8. Ἀπατούρια**· οἰκογενειακὴ ἑορτή, ἡ ὁποία ἐτελεῖτο εἰς τὰς Ἀθήνας κατὰ τὸν μῆνα Πυανεψιῶνα (Ὀκτώβριον - Νοέμβριον ) καὶ διήρκει τρεῖς ἡμέρας. — **σύνεισιν σφίσιν αὐτοῖς** συνέρχομαι ( πρὸς ἑορτασμόν ). — **χρὼς** ἐπιδερμίς. — **ἐν χρῷ κεκαρμένους**· εἰς ἔνδειξιν πένθους. — **ὡς δὴ ὄντες** ὅτι δῆθεν ἦσαν.

§ **9 - 10. Καλλιξένου εἰπόντος** κατὰ πρότασιν τοῦ Κ. — **διαψηφίζομαι** ψηφίζω κατὰ σειράν. — **ὑδρία**· εἶδος κάλπης. — **προτέρα** πρώτη. — **εἰς τὴν ὑστέραν ψηφίσασθαι**· παρανόμως, καθόσον ἡ ψηφοφορία ἔπρεπε νὰ διεξαχθῇ μυστική.— **ζημιόω - ῶ** τιμωρῶ. — **οἱ ἕνδεκα**· ἀρχὴ 10 ἀνδρῶν, οἱ ὁποῖοι ἐξελέγοντο κατ' ἔτος διὰ κλήρου

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

( εἷς ἐξ ἑκάστης φυλῆς )· εἰς τούτους συγκαταριθμεῖται καὶ ὁ γραμματεὺς ὡς ἑνδέκατος. Οἱ ἕνδεκα εἶχον ὡς ἔργον νὰ ἐκτελοῦν τὰς σωματικὰς ποινάς, αἱ ὁποῖαι ἐπεβάλλοντο ὑπὸ τοῦ δικαστηρίου. — **δημοσιεύω τὰ χρήματα** δημεύω τὴν περιουσίαν. — **τῆς θεοῦ**· δηλ. τῆς 'Αθηνᾶς· τὸ δέκατον δηλ. τῆς ἀξίας τῆς περιουσίας θὰ διετίθετο διὰ τὴν συντήρησιν τοῦ ναοῦ τῆς 'Αθηνᾶς.

§ **11 - 13. παρέρχομαι εἰς τὴν ἐκκλησίαν** παρουσιάζομαι ἐνώπιον τῆς ἐκκλησίας. — **τεῦχος ἀλφίτων** δοχεῖον δι' ἄλευρα, ἀλευροθήκη. — **ἐπιστέλλω** παραγγέλλω. — **ἄριστος** ἀνδρειότατος. — **προσκαλοῦμαί τινα**· εἰς τὴν δικαστικὴν γλῶσσαν = κατηγορῶ τινα ἐνώπιον τοῦ δικαστηρίου. — **γράφω** προτείνω ἐγγράφως. — **Εὐρυπτόλεμος**· συγγενὴς τοῦ Περικλέους, ἑνὸς ἐκ τῶν δικαζομένων στρατηγῶν. — **κλῆσις** κατηγορία ( πρβλ. **προσεκαλέσαντο** ). — **ἐπιθορυβέω - ῶ** ἐπιδοκιμάζω θορυβωδῶς. — **ἠναγκάσθησαν**· ὁ Εὐρυπτόλεμος καὶ οἱ συνηγορήσαντες ὑπὲρ τῆς προτάσεώς του.

§ **14 - 15. τῶν πρυτάνεων**· τί ἦσαν οἱ πρυτάνεις, ἴδε ἱστορίαν. — **προτίθημι τὴν διαψήφισιν**· ἐλέγετο ἐπὶ τῶν πρυτάνεων καὶ ἐσήμαινε : προκαλῶ τὴν ψηφοφορίαν. — **παρὰ τὸν νόμον**· ὁ ὁποῖος ὥριζεν, ὅτι ἕκαστος ἔπρεπε νὰ δικασθῇ ἰδιαιτέρως.— **τὰ αὐτά**· δηλ. **τῇ αὐτῇ ψήφῳ κρίνεσθαι**, ὅπως ἐπρότεινεν ὁ Λυκίσκος, καὶ διὰ τὸν Εὐρυπτ.— **καλεῖν = κατηγορεῖν**. — **Σωκράτης**· ὁ γνωστὸς φιλόσοφος ( 469 - 399 π.Χ. ). 'Ο Σωκρ. παντοῦ καὶ πάντοτε ἀντιμετώπισε μὲ ἀκαμψίαν καὶ ἀφοβίαν τὸν κίνδυνον ἐμπρὸς εἰς τὸ δίκαιον.

§ **34. προβολὴ** καταγγελία ἐνώπιον τῆς ἐκκλησίας τοῦ δήμου. 'Η προβολὴ ἐγίνετο ἐναντίον ἐκείνων, οἱ ὁποῖοι ἐπρόδιδον τὴν πόλιν ἢ παρέσυρον τὸν δῆμον εἰς ἐπιπολαίας καὶ ἀσυμφόρους ἀποφάσεις.— **ὕστερον**· τὸ 405 π.Χ. — **Κλεοφῶν**· δημαγωγός, φονευθεὶς ὑπὸ τῶν ὀλιγαρχικῶν κατὰ τὴν πολιορκίαν τῶν 'Αθηνῶν ὑπὸ τοῦ Λυσάνδρου.— **κατέρχομαι** ἐπανέρχομαι ἐκ τῆς ἐξορίας. — **ὅτε καὶ οἱ ἐκ Π. εἰς τὸ ἄστυ**· ὁ Θρασύβουλος καὶ οἱ περὶ αὐτὸν δημοκρατικοί, οἱ ὁποῖοι ἐνίκησαν τοὺς τριάκοντα καὶ ἀποκατέστησαν τὸ δημοκρατικὸν πολίτευμα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

( **1**, 1 - 7, 10 - 30 )

§ **1. οἱ ἐν Χίῳ** κλπ. ἴδ. βιβλ. Α', 6, 36 — 37. — **τῆς ὥρας** τῶν καρπῶν τῆς ἐποχῆς τοῦ ἔτους. — **μισθοῦ** ἀντὶ ἡμερομισθίου. — **κατὰ χώραν** εἰς τοὺς ἀγρούς. — **συνίσταμαί τινι** ἔρχομαι εἰς συννενόησιν μετά τινος. — **συντίθεμαί τινι** συμφωνῶ μέ τινα.

§ **2 - 4. ἠπόρει, τί χρῷτο τῷ πράγματι** εὑρίσκετο εἰς ἀμηχανίαν, πῶς ν' ἀντιμετωπίσῃ τὴν κατάστασιν. — **ἐπιχειρῆσαι**· ἐνν. **αὐτοῖς** = νὰ ἐπιτεθῇ κατ' αὐτῶν. — **σφαλερὸν** ἐπικίνδυνον. — **διαβολὴ** ἀφορμὴ πρὸς κακολογίαν. — **σχοῖεν = παράσχοιεν**. — **δύσνους πρός τι** ὁ λαμβάνων ἐχθρικὴν στάσιν ἀπέναντί τινος. — **ἐντυγχάνω τινὶ** συναντῶ τινα. — **ὀφθαλμιάω - ῶ** πάσχω ἐξ ὀφθαλμίας, ἀπὸ πονόματον. — **ἐξ ἰατρείου**· εἰς τὴν ἀρχαίαν Ἑλλάδα ὑπῆρχον ἰατροὶ ὅλων τῶν νόσων. — **κατὰ τὴν παραγγ.** εἰς τὸ ἄκουσμα τῆς ἀνακοινώσεως.— **ἀεὶ** ἑκάστοτε.

§ **5. νεωτερίζω** προκαλῶ ταραχάς. — **σημαίνω** δίδω διαταγήν.— **ἐν μέρει** κατὰ σειράν. — **ὡς οὐδὲν εἰδὼς** προσποιούμενος ὅτι. . .

§ **6 - 7 τὰ ἐνεστηκότα πράγματα** ἡ παροῦσα κατάστασις τῶν πραγμάτων.— **εὖ φέρομαι παρά τινι** προσελκύω τὴν ἀγάπην καὶ τὴν ἐκτίμησίν τινος. — **κατὰ τὴν προτέραν ναυαρχίαν**· κατὰ τὸ 408 - 406, ὅτε παρουσιάζεται διὰ πρώτην φορὰν ὡς ἐμπειρότατος στρατηγὸς καὶ διπλωμάτης μὲ ἐξαίρετον εὐστροφίαν. — **ἐν Νοτίῳ**· πόλει πλησίον τῆς Ἐφέσου ( πρβλ. βιβλ. Α', 6, § 1 - 3 ). — **ἐπιστολεὺς** ὑποναύαρχος.

§ **10 - 12. τῷ ἐπιόντι ἔτει**· πρόκειται περὶ τοῦ 27ου ἔτους τοῦ πολέμου ( 405 - 404 π.Χ. ).—**ἐν Ἀντάνδρῳ**· πόλει ἐν τῷ μυχῷ τοῦ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

'Αδραμυττηνοῦ κόλπου. αἱ νῆες αὗται ἐναυπηγοῦντο διὰ χρημάτων τοῦ σατράπου τῆς Αἰολίδος καὶ Μικρᾶς Φρυγίας Φαρναβάζου, ὅστις καθ' ὅλην τὴν διάρκειαν τοῦ Πελ. πολέμου ἐβοήθησε ποικιλοτρόπως, μάλιστα δὲ μὲ χρήματα, τοὺς Λακεδ. — **τὰ παρὰ βασιλέως** ὅσα εἶχε λάβει παρὰ τοῦ βασιλέως. — **ἔχοι = εἰλήφει ἤδη**. — **ἐπὶ τὰς τριήρεις**· τὰς πρὸ ὀλίγου ναυπηγηθείσας. — **ἐφίστημι τρ.** διορίζω τρ. — **οἱ τῶν 'Αθ. στρατηγοὶ**· Κόνων, 'Αδείμαντος καὶ Φιλοκλῆς. — **πρὸς τὸ ναυτικὸν** διὰ τοῦ στόλου, κατὰ θάλασσαν.

§ **13 - 14. ἐπὶ τούτοις** μετὰ ταῦτα. — **μετεπέμψατο**· τὸν Μάρτιον τοῦ 405. — **Θαμνήρια τῆς Μηδίας** πρὸς τὰ νοτιοδυτικὰ παράλια τῆς Κασπίας θαλάσσης. — **Καδούσιοι**· ἔθνος μηδικόν. — **παραδείκνυμι** ἐπιδεικνύω καὶ χορηγῶ. — **περιττὸς** ἀρκετός. — **ὡς εἶχε φιλίας** ποῖα φιλικὰ αἰσθήματα ἔτρεφεν. Ὁ Κῦρος σχεδιάζων νὰ κινήσῃ πόλεμον κατὰ τοῦ ἀδελφοῦ του 'Αρταξέρξου προσπαθεῖ νὰ ἀποκτήσῃ τὴν φιλίαν τῶν Λακεδαιμονίων ( βιβλ. Γ', 1, § 1 ).

§ **15. μετάπεμπτος** προσκεκλημένος. — **ἀνάγομαι** =; ( βιβλ. Α' 6, § 12 - 15 ). — **Κεδρεῖαι** ἢ **Κεδρέαι**· σημαντικὴ πόλις κατὰ τὸ νότιον τμῆμα τῆς Καρίας. — **δὲ = γὰρ**. — **κατὰ κράτος** διὰ τῆς βίας, ἐξ ἐφόδου.— **μειξοβάρβαροι** κατὰ τὸ ἥμισυ βάρβαροι καὶ κατὰ τὸ ἥμισυ Ἕλληνες.

§ **16. Χίον καὶ Ἔφεσον**· τὰ συνήθη ἀγκυροβόλια τοῦ σπαρτιατικοῦ στόλου. — **πρὸς τοῖς ὑπάρχουσι**· ἴδε § 10 - 12. — **προσείλοντο**· τοῦ **προσαιρέομαι - οῦμαι** ἐκλέγω ἐπὶ πλέον· ὑποκείμ. τοῦ **προσείλοντο** οἱ ἐν 'Αθήναις 'Αθηναῖοι.

§ **17 - 21. παρὰ τὴν 'Ιωνίαν** παραπλέων τὰ παράλια τῆς 'Ιωνίας. — **πρὸς τῶν πλοίων τὸν ἔκπλουν**· διὰ νὰ ἐμποδίσῃ δηλ. τὴν μεταφορὰν σίτου τῶν περὶ τὸν Εὔξεινον χωρῶν εἰς τὴν 'Αττικήν, τὴν ὁποίαν ἀπέκλειεν ἀπὸ ξηρᾶς ὁ βασιλεὺς τῶν Λακεδαιμονίων Ἆγις. — **πελάγιοι** πλέοντες εἰς τὸ ἀνοικτὸν πέλαγος. — **Ἄβυδος, Λάμψακος, 'Ελεοῦς, Σηστός**· πόλεις εἰς τὸ στενὸν τοῦ Ἑλλησπόντου· αἱ μὲν δύο πρῶται ἔκειντο ἐπὶ τῆς μικρασιατικῆς παραλίας, αἱ δὲ ἄλλαι δύο ἐπὶ τῆς εὐρωπαϊκῆς ( ἴδ. γεωργ. πίν. ). — **αὐτῶν**· τῶν Λακεδαιμο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νίων. — **ἡγεῖτο**· τῶν διὰ ξηρᾶς πορευομένων Ἀβυδηνῶν. — **τὰ ἐλεύθερα σώματα** οἱ ἐλεύθεροι ἄνδρες. — **κατὰ πόδας** ὄπισθεν. — **διέχει ὁ Ἑλλήσποντος** ἔχει πλάτος ὁ Ἑλλήσποντος. — **ταύτῃ** εἰς τὸ σημεῖον τοῦτο.

§ **22 - 24. εἰσβαίνειν**· συναπτέον τῷ **εἰς τὰς ναῦς**. — **παραβλήματα** ἢ **παραρρύματα**· ἴδ. βιβλ. Α', 6, § 19 - 20. — **ἀνέχει** ἢ **ἀνίσχει ὁ ἥλιος** ἀνατέλλει ὁ ἥλιος. — **ἐν μετώπῳ** εἰς μακρὰν μετωπικὴν γραμμήν. — **ὀψὲ τῆς ἡμέρας** ἀργὰ πρὸς τὴν ἑσπέραν. — **ἐξεβίβασεν**· ἐνν. τοὺς στρατιώτας. — **αὗται**· τίνες ; — **ἐπανάγομαι** ἐξέρχομαι εἰς τὸ πέλαγος ἐναντίον τινός.

§ **25 - 26. ἐκ τῶν τειχῶν**· ταῦτα εἶχεν ἀποκτήσει τὸ 410 - 409 π.Χ., ὅτε διὰ μισθοφόρων ἐπολέμει κατὰ τῶν Θρᾳκῶν. Εἰς τὸ φρούριον τοῦτο ἀπεχώρησε μετὰ τὴν ἧτταν τοῦ στόλου εἰς τὸ Νότιον καὶ τὴν ἐκδηλωθεῖσαν κατ' αὐτοῦ δυσμένειαν τῶν Ἀθηναίων ( βλ. Εἰσαγ. σ. 186 ). — **αἰγιαλὸς** ἀλίμενος παραλία. — **ὁρμέω - ῶ** εἶμαι ἠγκυροβολημένος. — **μετέρχομαι τὰ ἐπιτήδεια** ἔρχομαι πρὸς ἀναζήτησιν τῶν ἐπιτηδείων. — **οὐκ ἐν καλῷ**, ἐνν. **χωρίῳ** = ὄχι εἰς καλόν, κατάλληλον μέρος. — **μεθορμίσαι**· δηλ. **τὰς ναῦς**· **μεθορμίζω τὰς ν.** μετακινῶ τὰ πλοῖα εἰς ἄλλον ὅρμον. — **οὗ**· ἐπιρρ. = ὅπου.

§ **27. ἐπιπλέουσι τοῖς Ἀθηναίοις** ἀφ' ὅτου οἱ Ἀθην. ἐπέπλεον κατὰ τοῦ Λ. — **τοῖς παρ' αὐτοῦ ἑπομένοις** εἰς τοὺς παρ' αὐτοῦ πεμφθέντας, διὰ νὰ παρακολουθοῦν ( τοὺς Ἀθ., § 24 ). — **ἐσκεδασμένους**· τοῦ **σκεδάννυμαι** διασκορπίζομαι. — **πολὺ μᾶλλον**· ἀφ' ὅτου ἐπείσθησαν, ὅτι ὁ Λ. δὲν σκέπτεται νὰ ναυμαχήσῃ. — **τοὔμπαλιν** = **τὸ ἔμπαλιν** πρὸς τὰ ὀπίσω. — **κατὰ μέσον τὸν πλοῦν** εἰς τὸ μέσον τοῦ πλοῦ. — **ἐσήμηνε**· διὰ τῆς σάλπιγγος. — **τὴν ταχίστην** = ; ( Βιβλ. Α', 6, § 36 - 37 ). — **συμπάρειμι** πορεύομαι συγχρόνως μετά τινος.

§ **28 - 29. ἰδὼν τὸν ἐπίπλουν**· ἀπὸ τῆς ξηρᾶς, ὅπου καὶ αὐτὸς εὑρίσκετο. — **βοηθῶ εἰς τὰς ναῦς** σπεύδω εἰς σωτηρίαν τῶν πλοίων. — **κατὰ κράτος**· ἐδῶ = πάσῃ τῇ δυνάμει. — **δίκροτοι ἦσαν** εἶχον εἰς δύο μόνον σειρὰς κωπηλάτας· ἐπειδὴ δηλ. οἱ Ἀθην. εὑρέθησαν διεσκορπισμένοι εἰς τὴν ξηράν, ὅτε ὁ Λ. ἐπέπλευσε κατὰ τῶν πλοίων των,

*19*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὀλίγοι ἐπρόφθασαν νὰ ἐπιβιβασθοῦν εἰς αὐτά. Ἕνεκα τοῦ λόγου τούτου ἄλλαι μὲν τῶν νεῶν εὑρέθησαν μὲ δύο μόνον σειρὰς κωπηλατῶν, ἄλλαι μὲ μίαν καὶ ἄλλαι ὅλως διόλου κεναί. Κανονικῶς ἑκάστη ναῦς εἶχε τρεῖς σειρὰς κωπηλατῶν ( τριήρης ). — **Πάραλος**· μία τῶν ἱερῶν τριήρων τῶν Ἀθηναίων· ἡ Πάραλος, ἡ Σαλαμινία καὶ ἡ Δηλιὰς ἐχρησιμοποιοῦντο πρὸς μεταγωγὴν τῶν πρεσβειῶν καὶ τῶν ἐπισήμων ἀντιπροσώπων τῆς πόλεως, **τῶν θεωρῶν**, εἰς τὰς ἐθνικὰς πανηγύρεις· δι' αὐτῶν ἐπίσης μετεκομίζοντο αἱ διαταγαὶ τῆς ἀθηναϊκῆς πολιτείας καὶ τὰ δημόσια χρήματα. Εἶναι εὐνόητον κατὰ ταῦτα, ὅτι ἦσαν ἐλαφρὰ σκάφη ταχύπλοα. — **πρὸς τῇ γῇ** πλησίον τῆς ξηρᾶς καὶ ἐπὶ τῆς ξηρᾶς. — **εἰς τὰ τειχύδρια**· τῆς Σηστοῦ. — **τὰ Ἀθηναίων πράγματα διαφθείρεται** ἡ ( ναυτικὴ ) δύναμις τῶν Ἀθ. καταστρέφεται. — **κατέχω** καταπλέω, προσεγγίζω. — **τὰ μεγάλα ἱστία**· δηλ. τὰ πανιὰ τοῦ μεγάλου ἱστοῦ, διότι προκειμένου νὰ ναυμαχήσουν οἱ ἀρχαῖοι ἄφηναν τὰ μεγάλα ἱστία εἰς τὴν ξηράν. Ὁ Κόνων λοιπὸν προέβη εἰς ἐγχείρημα παράτολμον μέν, ἀλλὰ σωτήριον· κατέστησε μὲ ἄλλους λόγους δύσκολον τὴν δίωξίν του ὑπὸ τῶν Λακεδαιμονίων. — **παρ' Εὐαγόραν**· βασιλέα τῆς ἐν Κύπρῳ Σαλαμῖνος.

§ **30**. **τὰς ναῦς**· ὅλαι ἦσαν 180· ἂν ἀφαιρέσωμεν ἐπομένως τὰς διαφυγούσας 9, εἰς χεῖρας τοῦ Λ. περιῆλθον 171. — **τοὺς αἰχμαλώτους**· ὑπολογιζομένους εἰς πολλὰς χιλιάδας, ὅταν ληφθῇ ὑπ' ὄψιν, ὅτι ἑκάστου πολεμικοῦ σκάφους ἐπέβαινε πλήρωμα 200 περίπου ἀνδρῶν.— **τριταῖος** μετὰ τρεῖς ἡμέρας.

( **2**, 1 - 8, 10 - 19 )

§ **1 - 2**. **κατεστήσατο** ἐτακτοποίησεν· ὁ Λ. μετὰ τὴν πανωλεθρίαν τῶν Ἀθηναίων ἐν Αἰγὸς ποταμοῖς ἐγκαθίδρυεν εἰς τὰς συμμάχους αὐτῶν πόλεις ὀλιγαρχίας δέκα ἀνδρῶν, τὰς λεγομένας **δεκαρχίας**. Αὐτὸ ἔκαμε καὶ εἰς τὴν Λάμψακον. — **Βυζάντιον καὶ Καλχηδόνα** ( σημερινὸν Κατίκιοϊ )· τὸ μὲν Βυζάντιον εἶχε κυριεύσει ὁ Ἀλκιβιάδης διὰ προδοσίας τὸ 409, τὴν δὲ Καλχηδόνα ὁ Θρασύβουλος. — **ὑποσπόνδους** κατόπιν συμβάσεως. — **εἰς τὰς Ἀθήνας**· διὰ νὰ αὐξάνῃ ὁ πληθυσμὸς καὶ ἐπέλθῃ ἡ πεῖνα ταχύτερον, δεδομένου, ὅτι ὁ ἐπισιτισμὸς τῶν Ἀθηνῶν ἀπὸ θαλάσσης ἦτο ἤδη ἀδύνατος. — **ἁρμοστὴν**·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὕτως ἐκάλουν οἱ Λακεδ. τὸν εἰς ὑπήκοον πόλιν διοριζόμενον ὡς διοικητὴν ( πρβλ. τὸ ἰδικόν μας **ὕπατος ἁρμοστής** ).

§ **3 - 4. νυκτὸς** ἐν καιρῷ νυκτός. — **οἰμωγὴ** θρῆνος, ὀδυρμός. — **διὰ τῶν μακρῶν τειχῶν**· οὕτως ἐλέγοντο τὰ τείχη, τὰ ὁποῖα ἐπροστάτευον τὸ μεταξὺ Ἀθηνῶν - Πειραιῶς καὶ Φαλήρου τμῆμα τῆς Ἀττικῆς καὶ ἀπέληγον τὸ μὲν εἰς Πειραιᾶ, τὸ δὲ εἰς Π. Φάληρον. Καὶ τῶν δύο σκελῶν τὰς βάσεις εἶχε θέσει ὁ Κίμων ( **Κιμώνειον τεῖχος** ), ἐπεράτωσε δ' αὐτὰ ὁ Περικλῆς. Ὁ Π. μάλιστα πρὸς μεγαλυτέραν ἀσφάλειαν τοῦ μεταξὺ Πειραιῶς καὶ Φαλήρου χώρου ἔκτισε καὶ τρίτον σκέλος εἰς τὸ μέσον αὐτῶν ( **διὰ μέσου τεῖχος** ) ( ἴδε σχεδιάγραμμα ).— **διήκω** φθάνω ἀπὸ ἑνὸς μέρους εἰς ἄλλο.— **παραγγέλλων**· δηλ. τὴν συμφορὰν = ἀναγγέλων... — **πείσεσθαι**· τοῦ **πάσχω**. — **Μηλίους, Ἱστιαιέας, Σκιωναίους, Τορωναίους, Αἰγινήτας**· οἱ Μήλιοι ἀποχωρήσαντες τῆς συμμαχίας τῶν Ἀθηναίων κατὰ τὴν περίοδον τοῦ Πελοπον. πολέμου ( 415 π.Χ. ) ἐτιμωρήθησαν σκληρῶς ὑπὸ τῶν Ἀθηναίων· οἱ Ἱστιαιεῖς ἐπίσης νικηθέντες τὸ 405 π.Χ. ὑπὸ τῶν Ἀθην. ἐξεδιώχθησαν ἐκ τῆς πόλεώς των· οἱ Σκιωναῖοι καὶ Τορωναῖοι - κάτοικοι τῶν ἐν Χαλκιδικῇ πόλεων Σκιώνης καὶ Τορώνης — ἐπιχειρήσαντες ν' ἀποσπασθοῦν ἐκ τῆς ἀθηναϊκῆς συμμαχίας κατὰ τὸν Πελοπον. πόλεμον ( 420 π.Χ. ) ἐπλήρωσαν ἀκριβὰ τὴν ἀπόπειράν των· οἱ Αἰγινῆται τέλος, θεωρούμενοι ἀνέκαθεν ὡς ἐπικίνδυνοι διὰ τοὺς Ἀθηναίους, ἐξεδιώχθησαν ὑπ' αὐτῶν ἐκ τῆς νήσου των τὸ 434 π.Χ. — **τοὺς λιμένας** τὰ στόμια τῶν λιμένων ( δηλ. τοῦ Φαλήρου, τῆς Μουνιχίας — σημερινὸν Τουρκολίμανον—τῆς Ζέας—νῦν Πασαλιμάνι—καὶ τοῦ Κανθάρου, ὁ ὁποῖος ἀπετέλει διαμέρισμα τοῦ μεγάλου λιμένος ). — **πλὴν ἑνός**· τοῦ ἐμπορικοῦ δηλ. λιμένος, τοῦ **Ἐμπορίου** καλουμένου ( ἴδε σχεδιάγραμμα).— **εὐτρεπίζω τὰ τείχη** ἐπισκευάζω τὰ τείχη.

§ **5 - 7. κατασκευάζομαι πόλιν** τακτοποιῶ τὴν πολιτικὴν κατάστασιν πόλεως· ἐδῶ ἡ τακτοποίησις συνίστατο εἰς τὴν ἐγκαθίδρυσιν δεκαρχιῶν. — **πρὸς Λ. μετέστησε** μετέβαλε τὸ πολίτευμα συμφώνως πρὸς τὸ συμφέρον τῶν Λ. — **τῶν γνωρίμων** οὕτως ἐκαλεῖτο ἡ πλουσία τάξις, οἱ ἀριστοκρατικοί. — **πρὸς Ἆγιν** · ὅστις ἀπὸ τοῦ 413 τῇ συμβουλῇ τοῦ φυγάδος Ἀλκιβιάδου ἐπολιόρκει στενῶς τὰς Ἀθήνας ἀπὸ τῆς Δεκελείας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ **8. πλὴν 'Αργείων**· οἱ ὁποῖοι συνδεδεμένοι ἀπὸ τοῦ 420 πρὸς τοὺς 'Αθ. διὰ συμμαχίας μένουν πιστοὶ εἰς αὐτήν. — **παραγγείλαντος**· ἐνν. **ἐξιέναι**. — **ἐν τῇ 'Ακαδημείᾳ**· ἡ ὁποία ἔκειτο πρὸς βορρᾶν τῶν 'Αθηνῶν, ΝΔ. τοῦ Κολωνοῦ. — **τὰ πλοῖα**· τὰ σιταγωγά. — **εἴργω** ἐμποδίζω.

§ **10 - 12. σωτηρία** μέσον σωτηρίας. — **τιμωρέομαι - οῦμαί τινα** ἐκδικοῦμαί τινα. — **ὕβρις** ἀλαζονικὴ συμπεριφορά, αὐθαιρεσία. — **μικροπολίτης** ὁ κάτοικος μικρᾶς πόλεως (ὡς ἡ Αἴγινα, Μῆλος, Τορώνη κλπ. ). — **ἐκείνοις**· δηλ. τοῖς Λακεδαιμονίοις. — **ἄτιμος** ὁ ἐστερημένος τῶν πολιτικῶν δικαιωμάτων του· ἀντίθετον **ἐπίτιμος**. — **ἐκαρτέρουν**, δηλ. πολιορκούμενοι· **καρτερῶ** ὑπομένω. — **ἐπὶ τούτοις** ἐπὶ τῷ ὅρῳ. — **εἶναι**· τὸ ἀπαρέμφ. ἐκ τοῦ νοουμένου **ἔλεγε**.

§ **13. οἱ ἔφοροι**· ἦσαν 5 τὸν ἀριθμὸν καὶ ἐξελέγοντο κατ' ἔτος· εἶχον τὴν ἀνωτάτην ἐξουσίαν εἰς τὴν σπαρτιατικὴν πολιτείαν, ἀφοῦ καὶ αὐτοὶ οἱ βασιλεῖς ἐλάμβανον διαταγὰς παρ' αὐτῶν. — **αὐτόθεν**· χρονικὸν = ἀμέσως. — **ἥκειν**· εἰς Σπάρτην.

§ **14 - 15. καθαίρεσις τειχῶν** κατακρήμνισις τειχῶν. — **προσκαλοῦμαί τινα**. μετ' ἀπαρεμφ. ( **εἰρήνην ποιεῖσθαι** ) προσκαλῶ τινα νὰ κάμη κάτι. — **εἰρήνην ποιεῖσθαι**· συναπτέον **τοῖς Λακεδαιμονίοις**. — **δέομαι - οῦμαι** φυλακίζομαι. — **ἐπὶ δέκα σταδίους** εἰς ἔκτασιν δέκα σταδίων· τὸ στάδιον ( πληθυντικὸς τὰ στάδια καὶ ἑτερογενῶς οἱ στάδιοι ) ἰσοῦτο πρὸς 185 γαλλικὰ μέτρα. — **καθελεῖν ἑκατέρου**· δηλ. μέρος τι. — **ψήφισμα**· πρότασις ἐπικυρωθεῖσα καὶ νομιμοποιηθεῖσα ὑπὸ τῆς ἐκκλησίας τοῦ δήμου.

§ **16 - 17. τοιούτων δὲ ὄντων**· ἐνν. τῶν πραγμάτων = οὕτως ἐχόντων τῶν πραγμάτων. — **παρὰ Λύσανδρον**· ὅστις ἐπολιόρκει τότε τὴν Σάμον. — **ἥκω**· ἐδῶ = **ἐπανήκω** ἐπιστρέφω. — **ἀντέχω περί τινος** ἐπιμένω, μένω ἀνένδοτος ἐπί τινος. — **πίστις** ἐγγύησις. — **ἐπιτηρέω - ῶ** περιμένω τὸν καιρόν. — **ὅ,τι τις λέγοι** πάντα ὅσα τις λέγει. — **ὁμολογέω - ῶ** δέχομαι. — **κατέχω τινὰ** κρατῶ τινα εἰς τὴν ἐξουσίαν μου, αἰχμάλωτόν μου. — **εἶτα** κατὰ Μάρτιον τοῦ 404. **οὐ γὰρ εἶναι**· ἐννοεῖται **ἔλεγε** ( ἐκ τοῦ προηγουμένου **κελεύει** ).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ **18 - 19. πρεσβευτὴς αὐτοκράτωρ** πρ. μὲ ἀπεριόριστον ἐξουσίαν, μὲ ἀπόλυτον πληρεξουσιότητα. — **δέκατος αὐτὸς** ἐπὶ κεφαλῆς ἐννέα ἄλλων.

( **2**, 20 - 23 )

§ **20. σπένδομαι** συνθηκολογῶ. — **ἐξαιρεῖν**· ἐνν. **Ἀθήνας**· **ἐξαιρέω - ῶ τι** ἀφανίζω, καταστρέφω τι. — **μέγα ἀγαθὸν εἰργασμένην** κλπ.· τί ὑπονοοῦν οἱ Λακεδαιμόνιοι ; — **ἐφ' ᾧ**· μετ' ἀπαρεμφ. : ὑπὸ τὸν ὅρον. — **τὸν Πειραιᾶ** τὸ περὶ τὸν Π. τεῖχος. — **κατάγω τινὰ** ἐπαναφέρω τινὰ ἐκ τῆς ἐξορίας.

§ **21 - 23. ταῦτα** δηλ. τοὺς προταθέντας ὅρους τῶν νικητῶν. — **περιχεῖται ὄχλος τινὰ** συρρέει πλῆθος καθ' ὁμάδας πέριξ τινός. — **φοβούμενοι**· ἡ μτχ. εἰς πληθυντικόν, διότι ἡ λέξις ὄχλος εἶναι περιληπτική. — **ἐγχωρεῖ** εἶναι ἐπιτετραμμένον. — **προηγορέω - ῶ τινος** λαμβάνω τὸν λόγον ἐξ ὀνόματός τινος. — **περιαιρέω - ῶ = καθαιρῶ** κατεδαφίζω.— **Λύσανδρος κατέπλει**· λύσας τὴν πολιορκίαν τῆς Σάμου. Ὁ κατάπλους τοῦ Λ. εἰς Π. ἔγινε τὴν 16 Μουνιχιῶνος τοῦ 404, ἤτοι τὰς ἀρχὰς Ἀπριλίου. — **ὑπ' αὐλητρίδων** ὑπὸ τὴν μουσικὴν συνοδείαν καὶ τὰ ᾄσματα αὐλητρίδων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

## ( **1**, 1 - 8 )

§ **1 - 2. ἡ Ἀθήνησι στάσις** νοοῦνται οἱ ἀγῶνες μεταξὺ τῶν τριάκοντα καὶ τῶν ὀπαδῶν τοῦ Θρασυβούλου. — **ἐκ τούτου**· δηλ. τὸ 401 π.Χ. — **οἱ ἔφοροι**· Βιβλ. Β′, 2, § 13. — **ἐπιστέλλω** παραγγέλλω. — **Συέννεσιν**· τὸν ἐγνωρίσαμεν εἰς τὴν *Κύρου Ἀνάβασιν*.— **ὡς** πῶς. — **ἡ μάχη** ἡ παρὰ τὰ Κούναξα. — **Θεμ. τῷ Συρ. γέγραπται**· ἐπειδὴ ὁ Ξενοφῶν ἠμποδίζετο νὰ κυκλοφορήσῃ εἰς τὰς Ἀθήνας τὴν *Κύρου Ἀνάβασιν* λόγῳ τῆς ἐξορίας του, ἀλλ' ἴσως καὶ διὰ νὰ καταστήσῃ αὐτὴν περισσότερον ἀξιόπιστον, ἐξέδωκεν ὑπὸ τὸ ψευδώνυμον Θεμιστογένους τοῦ Συρακουσίου.

§ **3. πολλοῦ ἄξιος βασιλεῖ δόξας γεγενῆσθαι**· ὁ Τισσ. εἶχε προσφέρει πράγματι πολυτίμους ὑπηρεσίας εἰς τὸν βασιλέα. Οὕτω λ.χ. πρῶτος ἀνεκοίνωσεν εἰς αὐτὸν τὰς πολεμικὰς προετοιμασίας τοῦ Κύρου καὶ μόνος αὐτὸς δὲν ἔφυγε κατὰ τὴν μάχην τῶν Κουνάξων. Ἐπὶ πλέον αὐτὸς συνέλαβεν ἀργότερον τοὺς Ἕλληνας στρατηγοὺς καὶ ἐπεδίωξε νὰ ἐξοντώσῃ τοὺς λοιποὺς Ἕλληνας, οἱ ὁποῖοι συνεξεστράτευσαν μετὰ τοῦ Κύρου. — **ὧν τε... ἦρχε**· δηλ. τῆς Λυδίας, Καρίας καὶ Ἰωνίας. — **καὶ ὧν Κῦρος**· ἐνν. **ὕστερον ἦρχεν**· ἦρχε δὲ ὁ Κῦρος τῆς Λυδίας ( τὴν ὁποίαν ὁ πατήρ του εἶχεν ἀφαιρέσει ἀπὸ τοῦ Τισσ. καὶ ὑπήγαγεν εἰς τὴν σατραπείαν τοῦ υἱοῦ του ), τῆς μεγάλης Φρυγίας καὶ τῆς Καππαδοκίας. — **προστάτης** προϊστάμενος, ἡγεμών. — **δηόω - ῶ** λεηλατῶ.

§ **4. πέμπουσιν αὐτοῖς Θίβρωνα**· τὴν ἄνοιξιν τοῦ 399 π.Χ. — **νεοδαμώδης**· λέξις σπαρτιατικὴ = ὁ πρὸ ὀλίγου ἀπελευθερωθεὶς εἵλως, ὁ νεοπολίτης.— **ἐπὶ τῶν τριάκοντα**· οὗτοι ἀνέλαβον τὴν ἐξουσίαν μετὰ τὴν πτῶσιν τῶν Ἀθηνῶν καὶ διεχειρίσθησαν αὐτὴν ἐπὶ 8 μῆνας, ἤτοι ἀπὸ τοῦ Σεπτεμβρίου τοῦ 404 μέχρι τέλους Ἀπριλίου τοῦ 403.— **νομίζοντες**· ἐνν. **εἶναι ἄν**.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

§ **5. ἤπειρος**· κυρίως ἤπειρος ἐκαλεῖτο ὑπὸ τῶν ἀρχαίων ἡ Ἀσία. — **πρὸς τὸ ἱππικόν**· δηλ. τοῦ Τισσαφέρνους. — **ἀγαπῶ, εἰ...** μένω ἱκανοποιημένος, ἀρκοῦμαι, ἄν.

§ **6. συνέμειξαν αὐτῷ**· ἡ συνένωσις ἔγινεν εἰς τὴν Πέργαμον κατὰ Μάρτιον τοῦ 309 π.Χ. — **Τευθρανίαν καὶ Ἁλίσαρναν**· ἡ μὲν Τευθρανία ἦτο χώρα καὶ πόλις τῆς Μυσίας παρὰ τὸν Κάικον ποταμόν, ἡ δὲ Ἁλίσαρνα πόλις ἐπίσης τῆς Μυσίας παρὰ τὴν Πέργαμον. — **οἱ ἀπὸ τοῦ Δημαράτου τοῦ Λακεδαιμονίου**· ὁ Δημάρατος ἦτο βασιλεὺς τῆς Σπάρτης κατὰ τὸν ς' καὶ μέρος τοῦ ε' αἰῶνος π.Χ. Συκοφαντηθεὶς ὑπὸ τοῦ συμβασιλέως αὐτοῦ Κλεομένους τοῦ Α' ἐξέπεσε τοῦ θρόνου ( 451 π.Χ. ) καὶ ἐξωρίσθη. Κατόπιν τούτου κατέφυγεν εἰς τὸν βασιλέα τῶν Περσῶν Δαρεῖον τὸν Α', ὅστις ἐδέχθη αὐτὸν εὐμενῶς. Διαμένων εἰς τὴν περσικὴν αὐλὴν ἀπέβη πολύτιμος σύμβουλος τοῦ μεγάλου βασιλέως διὰ τὰ ἑλληνικὰ πράγματα, ἠκολούθησε δὲ καὶ τὸν Ξέρξην ἐκστρατεύσαντα κατὰ τῆς Ἑλλάδος. — **ἐκ βασιλέως**· τοῦ Δαρείου. — **ἀντὶ τῆς... συστρατείας** ὡς ἀμοιβὴν... διὰ τὴν συμμετοχὴν του εἰς τὴν ἐκστρατείαν. — **Γοργίων καὶ Γογγύλος**· ἀπόγονοι τοῦ κατωτέρω ἀναφερομένου Γογγύλου. — **ὅτι μόνος... μηδίσας**· ὁ Γογγύλος ἐμήδισε κατὰ τὴν ἐκστρατείαν τοῦ Δάτιδος καὶ Ἀρταφέρνους ( 490 π.Χ ) ἐναντίον τῆς Ἐρετρίας.

§ **7. τὴν Αἰγυπτίαν καλουμένην**· ἐκαλεῖτο οὕτως ἡ Λάρισα, διότι συμφώνως πρὸς τὴν παράδοσιν περὶ Κύρου τοῦ πρεσβυτέρου, τοῦ ἱδρυτοῦ τῆς περσικῆς μοναρχίας, οὗτος θαυμάσας τὴν ἀνδρείαν τῶν Αἰγυπτίων κατά τινα μάχην πρὸς αὐτοὺς μετέφερε τοὺς συλληφθέντας αἰχμαλώτους καὶ κατῴκισεν ἐκεῖ. — **φρεατία** δεξαμενή. — **τέμνομαι** ἀνοίγω. — **ὑπόνομον ὤρυττεν**· ἀπὸ τῆς φρεατίας μέχρι τοῦ ὑδραγωγείου τῆς πόλεως. — **αὖ** ἀφ' ἑτέρου = καὶ αὐτός. — **χελώνην**· πολιορκητικὴν μηχανὴν ἐστεγασμένην δι' ὕλης δυσαναφλέκτου καὶ κινουμένην ἐπὶ τροχῶν. Ὑπὸ τὴν προστασίαν αὐτῆς οἱ στρατιῶται ὑπέσκαπτον τὰ τείχη ἢ διήνοιγον ὑπονόμους. — **αὐτοῦ**· δηλ. τοῦ Θίβρωνος. — **ἐπὶ Καρίαν**· χώραν νοτίως τῆς Λυδίας καὶ Ἰωνίας.

§ **8. ἀφίκετο**· τὸ φθινόπωρον τοῦ 399 π.Χ. — **μηχανητικὸς** πανοῦργος. — **καὶ ἐπεκαλεῖτο δὲ Σίσυφος**· λόγῳ τῆς πανουργίας του.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Διότι ὁ Σίσυφος, υἱὸς τοῦ Αἰόλου, οἰκιστὴς καὶ βασιλεὺς τῆς Κορίνθου, ἐμυθολογεῖτο ὡς πολὺ πανοῦργος καὶ δόλιος. Διὰ τὴν πανουργίαν του κατεδικάσθη ἐν τῷ Ἅδῃ νὰ κυλίῃ ἀκαταπαύστως πρὸς τὴν κορυφὴν ὑψηλοῦ ὄρους βράχον, ὁ ὁποῖος ἔπιπτεν ὀπίσω, προτοῦ φθάσῃ εἰς τὴν κορυφήν. — **ζημιόομαι - οῦμαι** τιμωροῦμαι. — **οἱ σύμμαχοι**· δηλ. αἱ Ἰωνικαὶ πόλεις. — **ἐφείη**· τοῦ **ἐφίημι** ἀφήνω, ἐπιτρέπω.

( **1**, 9, 16 - 28 )

§ **9**. **κοινολογοῦμαί τινι** ἔρχομαι εἰς συνεννόησιν πρός τινα. — **ἐπὶ Λυσάνδρου ναυαρχοῦντος**· κατὰ τὸ 405 π.Χ. — **κηλὶς** στίγμα, προσβολή. — **τοῖς σπουδαίοις Λακεδαιμονίων**· διότι οἱ ἀνώτατοι ἀξιωματικοὶ ἐν εἰρηνικῇ παρατάξει δὲν ἔφεραν τὴν ἀσπίδα, τὴν ὁποίαν ἐκράτει ὁ **ὑπασπιστής**, δηλ. ὁ βοηθὸς στρατιώτης. — **ἀταξία** ἀπείθεια. — **ζημίωμα = ζημία** ( πρβλ. **ζημιοῦμαι**, § 8 ). — **παράγω τὸ στράτευμα**· ὁδηγῶ τὸ στράτευμα παρὰ τὴν θάλασσαν.

§ **16 - 17**. **καὶ πρὸς τὰς Αἰολίδας πόλεις**· δηλ. τὰς λοιπάς. — **Νεανδρεῖς**, **Ἰλιεῖς**, **Κοκυλῖται**· οἱ κάτοικοι τῆς Νεανδρείας, τοῦ Ἰλίου καὶ τοῦ Κοκυλίου, πόλεων τῆς Τρῳάδος. — **Μανία**· ἡ τέως ὑποδιοικήτρια τῆς Αἰολίδος, τὴν ὁποίαν ἐφόνευσεν ὁ γαμβρὸς αὐτῆς Μειδίας μὲ τὴν ἐλπίδα, ὅτι θὰ ἀνατεθῇ εἰς αὐτὸν ἡ ἀρχὴ ὑπὸ τοῦ Φαρναβάζου.— **περιέπω τινὰ** μεταχειρίζομαί τινα ( καλῶς ἢ κακῶς )· **καλῶς περιέπομαι** τυγχάνω καλῆς μεταχειρίσεως, περιποιήσεως. — **ὁ ἐν Κεβρῆνι τὴν φυλακὴν ἔχων** ὁ διοικητὴς τῆς φρουρᾶς τῆς Κεβρῆνος. — **οὐκ ἐγίγνετο τὰ ἱερά**· ἐνν. καλά· **ἱερὰ** θυσίαι. — **τῇ πρώτῃ**· δηλ. **ἡμέρᾳ**. — **καλλιερεῖται τὰ ἱερὰ = καλὰ γίγνεται τὰ ἱερά**. — **καρτερῶ θυόμενος** ἐπιμένω νὰ θυσιάζω. — **ἐγκρατὴς** κύριος.

